BYZANTINE GREEK SERIES · VOLUME 27

The Theological Orations

Gregory of Nazianzus · Basil of Caesarea

ΛΟΓΟΙ ΘΕΟΛΟΓΙΚΟΙ
ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

The Theological Orations

With Basil's On the Holy Spirit

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

Part of the source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License;
the remainder is in the public domain
creativecommons.org/licenses/by-sa/4.0



Volume 27 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows A. J. Mason's text of the Five
Theological Orations of Gregory of Nazianzus (Cambridge, 1899)
and C. F. H. Johnston's text of Basil's On the Holy Spirit (Oxford, 1892)

The Theological Orations set from the First
Thousand Years of Greek, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The margins give the editors' chapter numbers.

CONTENTS

GREGORY OF NAZIANZUS

I · Against the Talkers 9
II · The Cloud 25
III · What God Is Not 33
IV · The Mind's Limits 41
V · What the Saints Saw 50
VI · The Riddles of Life 58
VII · The Riddles of the World 68
VIII · The Generation 82
IX · The Unbegotten 92
X · Name and Nature 101
XI · The Lofty and the Lowly 109
XII · The Objections, First to Second 119
XIII · The Objections, Third to Sixth 129
XIV · The Objections, Seventh to Tenth 137

GREGORY OF NAZIANZUS

(continued)

XV · The Son's Names 146
XVI · The Spirit Proclaimed 156
XVII · The Procession 163
XVIII · Three and One 173
XIX · Words and Things 181
XX · Revelation by Degrees 190
XXI · The Spirit's Names 196

BASIL OF CAESAREA

I · The Syllables 207
II · Of Whom and Through Whom 220
III · With the Father 231
IV · Through Him 242
V · The Common Notions 258
VI · Baptism and the Angels 268
VII · The Spirit at Work 277
VIII · Against Subnumeration 307
IX · The Spirit's Glory 322
X · Beyond the World 338
XI · In and With 348
XII · The Unwritten Tradition 364
XIII · The Fathers' Witness 381

GREGORY OF NAZIANZUS

ΛΟΓΟΙ ΘΕΟΛΟΓΙΚΟΙ

The Theological Orations

Gregory turns on disputants who set every market, banquet, and feast buzzing with theology. Not everyone may philosophize about God, nor always, nor before everyone, nor on everything: only the tested and purified, at a fit season, before serious hearers, and within their strength. Remembering God is always due; speaking of him is not. The mysteries are not for hostile ears, and talk is not the only way to God. Let his opponents attack Pythagoras, Plato, and Epicurus, or discuss the world, the soul, the resurrection, and the judgment, where a miss is no danger.

Πρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος. καὶ ἵνα ἀπὸ τῆς 1
to the(-ones) in speech clever the speech and that from the
γραφῆς ἄρξωμαι· Ἰδοὺ ἐγὼ ἐπὶ σὲ τὴν ὑβρίστριαν.
scripture I-may-begin behold I (am)-against you the insolent(-woman)
εἰσὶ γάρ, εἰσί τινες, οἱ τὴν ἀκοὴν προσκνώμενοι καὶ
are for are some who the hearing itching and
τὴν γλῶσσαν, ἤδη δέ, ὡς ὁρῶ, καὶ τὴν χεῖρα, τοῖς
the tongue already and as I-see also the hand at-the
ἡμετέροις λόγοις, καὶ χαίροντες ταῖς βεβήλοις κενοφωνίαις,
our words and rejoicing in-the profane empty-babblings
καὶ ἀντιθέσεσι τῆς ψευδωνύμου γνώσεως, καὶ ταῖς εἰς
and oppositions of-the falsely-named knowledge and in-the to
οὐδὲν χρήσιμον φερούσαις λογομαχίαις. οὕτω γὰρ ὁ
nothing useful tending word-battles thus for —
Παῦλος καλεῖ πᾶν τὸ ἐν λόγῳ περιττὸν καὶ περίεργον,
Paul calls all the in speech superfluous and overwrought
ὁ τοῦ συντετμημένου λόγου κῆρυξ καὶ βεβαιωτής, ὁ
the of-the cut-short word herald and confirmer the
τῶν ἁλιέων μαθητὴς καὶ διδάσκαλος. οὗτοι δέ, περὶ ὧν
of-the fishermen disciple and teacher these and about whom
ὁ λόγος, εἴθε μέν, ὥσπερ τὴν γλῶσσαν εὔστροφον
the speech would-that indeed as the tongue nimble

ἔχουσι καὶ δεινὴν ἐπιθέσθαι λόγοις εὐγενεστέροις τε
they-have and clever to-apply-itself to-words nobler both
καὶ δοκιμωτέροις, οὕτω τι καὶ περὶ τὰς πράξεις
and more-approved thus somewhat also about the deeds
ἠσχολοῦντο μικρὸν γοῦν, καὶ ἴσως ἧττον ἂν ἦσαν
they-busied-themselves a-little at-any-rate and perhaps less — they-would-be
σοφισταὶ καὶ κυβισταὶ λόγων ἄτοποι καὶ παράδοξοι, ἵν'
sophists and tumblers of-words absurd and paradoxical that
εἴπω τι καὶ γελοίως περὶ γελοίου πράγματος.
I-may-say something even ridiculously about (a)-ridiculous thing

2 Ἐπεὶ δὲ πᾶσαν εὐσεβείας ὁδὸν καταλύσαντες πρὸς ἓν
since and every of-piety road having-dissolved to one
τοῦτο βλέπουσι μόνον, ὅ τι δήσουσιν ἢ λύσουσι τῶν
this they-look only what — they-will-bind or they-will-loose of-the(-things)
προβαλλομένων, — καθάπερ ἐν τοῖς θεάτροις οἱ
being-propounded as in the theaters the(-ones)
τὰ παλαίσματα δημοσιεύοντες, καὶ τῶν παλαισμάτων
the wrestlings exhibiting and of-the wrestlings
οὐχ ὅσα πρὸς νίκην φέρει κατὰ νόμους ἀθλήσεως,
not as-many-as to victory lead according-to (the)-laws of-contest
ἀλλ' ὅσα τὴν ὄψιν κλέπτει τῶν ἀμαθῶν τὰ τοιαῦτα
but as-many-as the sight steal of-the ignorant the such(-things)
καὶ συναρπάζει τὸν ἐπαινέτην, — καὶ δεῖ πᾶσαν
and seize the praiser and (it-is)-necessary every
μὲν ἀγορὰν περιβομβεῖσθαι τοῖς τούτων λόγοις, πᾶν
indeed marketplace to-buzz with-the of-these words every
δὲ συμπόσιον ἀποκναίεσθαι φλυαρίᾳ καὶ ἀηδίᾳ, πᾶσαν
and banquet to-be-worn-out by-babble and tedium every
δὲ ἑορτὴν καὶ πένθος ἅπαν, τὴν μὲν ἀνέορτον
and feast and mourning all the(-one) indeed festival-less
εἶναι καὶ μεστὴν κατηφείας, τὸ δὲ παραμυθεῖσθαι
to-be and full of-gloom the(-other) and to-be-consoled

συμφορᾷ μείζονι τοῖς ζητήμασι, πᾶσαν δὲ διοχλεῖσθαι
by-(a)-calamity greater the questions every and to-be-troubled
γυναικωνῖτιν, ἁπλότητι σύντροφον, καὶ τὸ τῆς αἰδοῦς ἄνθος
women's-quarters with-simplicity bred and the of-the modesty flower
ἀποσυλᾶσθαι τῇ περὶ λόγον ταχύτητι· ἐπειδὴ ταῦτα
to-be-stripped by-the about speech quickness since these(-things)
οὕτω, καὶ τὸ κακὸν ἄσχετον καὶ ἀφόρητον, καὶ κινδυνεύει
(are)-so and the evil unchecked and unbearable and risks
τεχνύδριον εἶναι τὸ μέγα ἡμῶν μυστήριον· φέρε, τοσοῦτον
(a)-petty-trick to-be the great our mystery come so-much
γοῦν ἡμῶν ἀνασχέσθωσαν οἱ κατάσκοποι σπλάγχνοις
at-any-rate us let-them-bear the spies with-bowels
πατρικοῖς κινουμένων καί, ὅ φησιν ὁ θεῖος Ἱερεμίας,
paternal moved and what says the divine Jeremiah
σπαρασσομένων τὰ αἰσθητήρια, ὅσον μὴ τραχέως τὸν
torn the senses as-much-as not harshly the
περὶ τούτων δέξασθαι λόγον, καὶ τὴν γλῶσσαν μικρὸν
about these(-things) to-receive word and the tongue for-a-little
ἐπισχόντες, ἂν ἄρα καὶ δύνωνται, τὴν ἀκοὴν ἡμῖν
having-restrained if after-all also they-can the hearing to-us
ὑποθέτωσαν. πάντως δὲ οὐδὲν ζημιωθήσεσθε. ἢ γὰρ εἰς
let-them-lend in-any-case but nothing you-will-be-harmed either for into
ὦτα ἐλαλήσαμεν ἀκουόντων, καί τινα καρπὸν ἔσχεν ὁ
ears we-have-spoken of-hearers and some fruit had the
λόγος, τὴν ὠφέλειαν τὴν ὑμετέραν, — ἐπειδὴ σπείρει μὲν
word the benefit the yours since sows indeed
ὁ σπείρων τὸν λόγον ἐπὶ πᾶσαν διάνοιαν, καρποφορεῖ δὲ
the sower the word upon every mind bears-fruit and
ἡ καλή τε καὶ γόνιμος, — ἢ ἀπήλθετε καὶ τοῦτο ἡμῶν
the good both and fertile(-one) or you-went-away also this us
διαπτύσαντες, καὶ πλείονα λαβόντες ὕλην ἀντιλογίας
having-spat-upon and more having-taken material of-contradiction

τε καὶ τῆς καθ' ἡμῶν λοιδορίας, ἵνα καὶ μᾶλλον ὑμᾶς
both and of-the against us abuse that even more you
αὐτοὺς ἑστιάσητε. μὴ θαυμάσητε δέ, εἰ παράδοξον ἐρῶ
selves you-may-feast not wonder and if (a)-paradoxical I-shall-speak
λόγον, καὶ παρὰ τὸν ὑμέτερον νόμον, οἳ πάντα εἰδέναι
word and contrary-to the your law who all(-things) to-know
τε καὶ διδάσκειν ὑπισχνεῖσθε λίαν νεανικῶς καὶ γενναίως,
both and to-teach promise very boldly and nobly
ἵνα μὴ λυπῶ λέγων ἀμαθῶς καὶ θρασέως.
that not I-may-pain saying ignorantly and rashly

3 Οὐ παντός, ὦ οὗτοι, τὸ περὶ θεοῦ φιλοσοφεῖν, οὐ παντός·
not of-everyone O sirs the about God to-philosophize not of-everyone
οὐχ οὕτω τὸ πρᾶγμα εὔωνον καὶ τῶν χαμαὶ ἐρχομένων.
not so the thing cheap and of-the on-the-ground going
προσθήσω δέ, οὐδὲ πάντοτε, οὐδὲ πᾶσιν, οὐδὲ πάντα, ἀλλ'
I-shall-add and nor always nor before-all nor all(-things) but
ἔστιν ὅτε, καὶ οἷς, καὶ ἐφ' ὅσον. οὐ πάντων μέν,
there-is when and before-whom and to what-extent not of-all indeed
ὅτι τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ,
because of-the(-ones) having-been-tested and having-passed-through in contemplation
καὶ πρὸ τούτων καὶ ψυχὴν καὶ σῶμα κεκαθαρμένων, ἢ
and before these(-things) both soul and body having-been-purified or
καθαιρομένων, τὸ μετριώτατον. μὴ καθαρῷ γὰρ ἅπτεσθαι
being-purified the most-moderate not to-pure for to-touch
καθαροῦ τυχὸν οὐδὲ ἀσφαλές, ὥσπερ οὐδὲ ὄψει σαθρᾷ
(the)-pure perhaps not-even safe as not-even for-sight weak
ἡλιακῆς ἀκτῖνος. ὅτε δέ; ἡνίκα ἂν σχολὴν ἄγωμεν ἀπὸ
of-(the)-sun's ray when and when — leisure we-keep from
τῆς ἔξωθεν ἰλύος καὶ ταραχῆς, καὶ μὴ τὸ ἡγεμονικὸν ἡμῶν
the outside mud and confusion and not the ruling(-part) our
συγχέηται τοῖς μοχθηροῖς τύποις καὶ πλανωμένοις, οἷον
is-confounded by-the base impressions and wandering as

γράμμασι πονηροῖς ἀναμιγνύντων κάλλη γραμμάτων, ἢ
with-letters bad of-(those)-mixing beauties of-letters or
βορβόρῳ μύρων εὐωδίαν. δεῖ γὰρ τῷ ὄντι σχολάσαι,
with-mud of-perfumes fragrance (one)-must for in-the being to-be-at-leisure
καὶ γνῶναι θεόν· καὶ ὅταν λάβωμεν καιρόν, κρίνειν
and to-know God and when we-take (a)-season to-judge
θεολογίας εὐθύτητα. τίσι δέ; οἷς τὸ πρᾶγμα
of-theology (the)-straightness for-whom and those-for-whom the thing
διὰ σπουδῆς, καὶ οὐχ ὡς ἕν τι τῶν ἄλλων καὶ
(is)-through earnestness and not as one something of-the others and
τοῦτο φλυαρεῖται ἡδέως, μετὰ τοὺς ἱππικούς, καὶ τὰ θέατρα,
this is-babbled pleasantly after the horse-races and the theaters
καὶ τὰ ᾄσματα, καὶ τὴν γαστέρα, καὶ τὰ ὑπὸ γαστέρα·
and the songs and the belly and the(-things) under (the)-belly
οἷς καὶ τοῦτο μέρος τρυφῆς, ἡ περὶ ταῦτα ἐρεσχελία
for-whom also this (is)-part of-luxury the about these(-things) frivolity
καὶ κομψεία τῶν ἀντιθέσεων. τίνα δὲ φιλοσοφητέον,
and cleverness of-the oppositions what(-things) and must-be-philosophized
καὶ ἐπὶ πόσον; ὅσα ἡμῖν ἐφικτά, καὶ ἐφ' ὅσον
and to what-extent as-many-as to-us (are)-attainable and to as-far-as
ἡ τοῦ ἀκούοντος ἕξις ἐφικνεῖται καὶ δύναμις· ἵνα μὴ
the of-the hearer condition reaches and power that not
καθάπερ αἱ ὑπερβάλλουσαι τῶν φωνῶν, ἢ τῶν τροφῶν,
as the excessive of-the sounds or of-the foods
τὴν ἀκοὴν βλάπτουσιν ἢ τὰ σώματα, — εἰ βούλει δέ, τῶν
the hearing hurt or the bodies if you-wish and of-the
φορτίων τὰ ὑπὲρ δύναμιν τοὺς ὑποβαίνοντας, ἢ τὴν γῆν
burdens the(-ones) beyond power those going-under(-them) or the earth
τῶν ὑετῶν οἱ σφοδρότεροι, — οὕτω δὴ καὶ οὗτοι τοῖς
of-the rains the more-violent thus indeed also these by-the

στερροῖς, ἵν᾽ οὕτως εἴπω, τῶν λόγων καταπιεσθέντες καὶ
solid that thus I-may-say of-the words having-been-crushed and
βαρυνθέντες ζημιωθεῖεν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν.
having-been-weighed-down should-be-harmed even in the original power
4 Καὶ οὐ λέγω τοῦτο μὴ δεῖν πάντοτε μεμνῆσθαι θεοῦ. μὴ
and not I-say this not (one)-must always to-remember God not
πάλιν ἐπιφυέσθωσαν ἡμῖν οἱ πάντα εὔκολοι καὶ ταχεῖς.
again let-them-attack us the(-ones) in-all-things ready and quick
μνημονευτέον γὰρ θεοῦ μᾶλλον ἢ ἀναπνευστέον· καί, εἰ
must-be-remembered for God rather than must-be-breathed and if
οἷόν τε τοῦτο εἰπεῖν, μηδὲ ἄλλο τι ἢ τοῦτο πρακτέον.
possible — this to-say not-even other anything than this must-be-done
κἀγὼ τῶν ἐπαινούντων εἰμὶ τὸν λόγον, ὃς μελετᾷν
and-I of-the(-ones) praising am the word which to-meditate
ἡμέρας καὶ νυκτὸς διακελεύεται, καὶ ἑσπέρας καὶ πρωὶ καὶ
by-day and by-night commands and at-evening and morning and
μεσημβρίας διηγεῖσθαι, καὶ εὐλογεῖν τὸν κύριον ἐν παντὶ
at-noon to-relate and to-bless the lord at every
καιρῷ· εἰ δεῖ καὶ τὸ Μωυσέως εἰπεῖν, κοιταζόμενον,
time if (one)-must also the of-Moses to-say lying-down
διανιστάμενον, ὁδοιποροῦντα, ὅ τι οὖν ἄλλο πράττοντα,
rising-up walking what -ever then else doing
καὶ τῇ μνήμῃ τυποῦσθαι πρὸς καθαρότητα. ὥστε οὐ τὸ
also by-the memory to-be-molded toward purity so-that not the
μεμνῆσθαι διηνεκῶς κωλύω, τὸ θεολογεῖν δέ· οὐδὲ τὴν
to-remember continually I-hinder the to-theologize and nor the
θεολογίαν, ὥσπερ ἀσεβές, ἀλλὰ τὴν ἀκαιρίαν· οὐδὲ τὴν
theology as impious but the unseasonableness nor the
διδασκαλίαν, ἀλλὰ τὴν ἀμετρίαν. ἢ μέλιτος μὲν πλησμονὴ
teaching but the immoderation or of-honey indeed fullness
καὶ κόρος ἔμετον ἐργάζεται, καίπερ ὄντος μέλιτος, καὶ
and surfeit vomiting produces although being of-honey and

καιρὸς τῷ παντὶ πράγματι, ὡς Σολομῶντι κἀμοὶ δοκεῖ,
(a)-season for-the every thing as to-Solomon and-to-me (it)-seems
καὶ τὸ καλὸν οὐ καλόν, ὅταν μὴ καλῶς γίνηται, ὥσπερ
also the good not good when not well it-is-done as
ἄνθος ἐν χειμῶνι παντελῶς ἄωρον, καὶ γυναιξὶ κόσμος
(a)-flower in winter altogether untimely and to-women adornment
ἀνδρεῖος, ἢ γυναικεῖος ἀνδράσι, καὶ πένθει γεωμετρία,
manly or womanly to-men and to-mourning geometry
καὶ πότῳ δάκρυον, ἐνταῦθα δὲ μόνον τὸν καιρὸν
and to-drinking weeping here and only the season
ἀτιμάσομεν, οὗ μάλιστα τιμητέον τὸ εὔκαιρον;
shall-we-dishonor where most must-be-honored the timely
Μηδαμῶς, ὦ φίλοι καὶ ἀδελφοί· ἀδελφοὺς γὰρ ὑμᾶς 5
by-no-means O friends and brothers brothers for you
ἔτι καλῶ, καίπερ οὐκ ἀδελφικῶς ἔχοντας· μὴ οὕτω
still I-call although not brotherly being not thus
διανοώμεθα, μηδὲ καθάπερ ἵπποι θερμοὶ καὶ δυσκάθεκτοι,
let-us-think nor as horses hot and hard-to-hold
τὸν ἐπιβάτην λογισμὸν ἀπορρίψαντες, καὶ τὴν καλῶς
the rider reason having-thrown-off and the well
ἄγχουσαν εὐλάβειαν ἀποπτύσαντες, πόρρω τῆς νύσσης
choking reverence having-spat-out far from-the turning-post
θέωμεν· ἀλλ᾽ εἴσω τῶν ἡμετέρων ὅρων φιλοσοφῶμεν,
let-us-run but within the our bounds let-us-philosophize
καὶ μὴ εἰς Αἴγυπτον ἐκφερώμεθα, μηδὲ εἰς Ἀσσυρίους
and not into Egypt let-us-be-carried-off nor into Assyrians
κατασυρώμεθα, μηδὲ ᾄδωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς
let-us-be-dragged-down nor let-us-sing the song of-(the)-lord in (a)-land
ἀλλοτρίας, πάσης ἀκοῆς λέγω, ξένης τε καὶ ἡμετέρας,
foreign of-every hearing I-mean strange both and ours
ἐχθρᾶς καὶ φιλίας, εὐγνώμονος καὶ ἀγνώμονος, ἣ λίαν
hostile and friendly kindly and unkindly which very

ἐπιμελῶς τηρεῖ τὰ ἡμέτερα, καὶ βούλοιτο ἂν τὸν σπινθῆρα
carefully watches the our(-affairs) and would-wish — the spark
τῶν ἐν ἡμῖν κακῶν γενέσθαι φλόγα, ἐξάπτει τε καὶ
of-the in us evils to-become (a)-flame kindles both and
ἀναρριπίζει καὶ εἰς οὐρανὸν αἴρει ταῖς παρ' ἑαυτῆς αὔραις
fans and to heaven raises with-the from itself breezes
λανθάνουσα, καὶ ποιεῖ τῆς Βαβυλωνίας φλογὸς τὰ
unnoticed and makes than-the Babylonian flame the(-things)
κύκλῳ καταφλεγούσης ὑψηλοτέραν. ἐπειδὴ γὰρ οὐκ ἐν
around burning higher since for not in
τοῖς ἑαυτῶν δόγμασιν ἔχουσι τὴν ἰσχύν, ἐν τοῖς ἡμετέροις
the their-own doctrines they-have the strength in the our
σαθροῖς ταύτην θηρεύουσι, καὶ διὰ τοῦτο, ὥσπερ αἱ μυῖαι
weak(-spots) this they-hunt and because-of this as the flies
τοῖς τραύμασιν, οὕτω τοῖς ἡμετέροις ἐπιτίθενται — εἴτε
on-the wounds thus on-the our(-things) they-set whether
ἀτυχήμασι χρὴ λέγειν, εἴτε ἁμαρτήμασιν. ἀλλ' ἡμεῖς
misfortunes (one)-must to-call(-them) or sins but we
γε μὴ ἐπὶ πλεῖον ἡμᾶς αὐτοὺς ἀγνοήσωμεν, μηδὲ τὸ
at-least not to more us selves let-us-be-ignorant-of nor the
περὶ ταῦτα κόσμιον ἀτιμάσωμεν· ἀλλ' εἰ μὴ τὴν ἔχθραν
about these(-things) decorum let-us-dishonor but if not the enmity
καταλύσασθαι δυνατόν, ἐκεῖνό γε συμβῶμεν ἀλλήλοις,
to-dissolve (is)-possible that at-least let-us-agree with-one-another
μυστικῶς τὰ μυστικὰ φθέγγεσθαι, καὶ ἁγίως τὰ ἅγια,
mystically the mystic(-things) to-utter and holily the holy(-things)
καὶ μὴ ῥίπτειν εἰς βεβήλους ἀκοὰς τὰ μὴ ἔκφορα,
and not to-throw to profane ears the not to-be-divulged(-things)
μηδὲ σεμνοτέρους ἡμῶν ἀποφαίνωμεν τοὺς προσκυνοῦντας
nor more-august than-us let-us-show the(-ones) worshiping
τοῖς δαιμονίοις καὶ τῶν αἰσχρῶν μύθων καὶ πραγμάτων
the demons and of-the shameful fables and deeds

θεραπευτάς, οἳ θᾶττον ἂν τοῦ αἵματος ἢ λόγων ἔστιν
servants who sooner — of-the blood than of-words there-are
ὧν μεταδοῖεν τοῖς ἀμυήτοις. ἀλλ' εἰδῶμεν, ὥσπερ
of-which would-share with-the uninitiated but let-us-know as
ἐσθῆτος καὶ διαίτης καὶ γέλωτος καὶ βαδίσματος οὖσάν τινα
of-clothing and of-diet and of-laughter and of-gait being some
κοσμιότητα, οὕτω καὶ λόγου καὶ σιωπῆς, ὅτι καὶ λόγον
decorum thus also of-speech and of-silence since also (the)-word
πρεσβεύομεν μετὰ τῶν ἄλλων τοῦ θεοῦ προσηγοριῶν καὶ
we-honor with the other — of-God names and
δυνάμεων. ἔστω καὶ τὸ φιλόνεικον ἡμῶν ἔννομον.
powers let-it-be also the contentiousness our lawful
Τί γέννησιν ἀκούει θεοῦ καὶ κτίσιν, καὶ θεὸν ἐξ 6
why generation hears of-God and creation and God from
οὐκ ὄντων, καὶ τομὴν καὶ διαίρεσιν καὶ ἀνάλυσιν, ὁ
not beings and cutting and division and analysis the
πικρὸς τῶν λεγομένων ἀκροατής; τί δικαστὰς τοὺς
bitter of-the(-things) said hearer why (as)-judges the
κατηγόρους καθίζομεν; τί τὰ ξίφη τοῖς ἐχθροῖς ἐγχειρίζομεν;
accusers do-we-seat why the swords to-the enemies do-we-put-in-hand
πῶς, οἴει, δέξεται τὸν περὶ τούτων λόγον, ἢ μεθ'
how do-you-think will-receive the about these(-things) word or with
οἵας τῆς διανοίας, ὁ τὰς μοιχείας ἐπαινῶν καὶ τὰς
what-sort the mind the(-one) the adulteries praising and the
παιδοφθορίας, καὶ προσκυνῶν τὰ πάθη, καὶ μηδὲν ὑπὲρ
corruptions-of-boys and worshiping the passions and nothing beyond
τὸ σῶμα διανοηθῆναι δυνάμενος, ὁ χθὲς καὶ πρώην
the body to-conceive able the(-one) yesterday and the-day-before
ἑαυτῷ στήσας θεούς, καὶ τούτους ἐπὶ τοῖς αἰσχίστοις
for-himself having-set-up gods and these for the most-shameful(-deeds)
γνωριζομένους; οὐχ ὑλικῶς; οὐκ αἰσχρῶς; οὐκ ἀμαθῶς; οὐχ
known not materially not shamefully not ignorantly not

ὡς εἴωθεν; οὐ συνήγορον τῶν οἰκείων θεῶν καὶ παθῶν
as he-is-wont not (an)-advocate of-the own gods and passions
τὴν σὴν θεολογίαν ποιήσεται; εἰ γὰρ αὐτοὶ ταῖς φωναῖς
the your theology will-he-make if for we-ourselves with-the expressions
ταύταις ἐπηρεάζομεν, σχολῇ γ' ἂν ἐκείνους πείσαιμεν
these abuse hardly at-least — those we-would-persuade
φιλοσοφεῖν ἐν τοῖς ἡμετέροις· καὶ εἰ παρ' ἑαυτῶν εἰσὶν
to-philosophize in the our(-terms) and if of themselves they-are
ἐφευρεταὶ κακῶν, πότε ἂν τῶν διδομένων ἀπόσχοιντο;
inventors of-evils when — from-the(-things) given would-they-abstain
ταῦτα ἡμῖν ὁ πρὸς ἀλλήλους πόλεμος. ταῦτα οἱ
these(-things) to-us the among one-another war these(-things) the(-ones)
πλεῖον ὑπὲρ τοῦ Λόγου μαχόμενοι, ἢ ὅσον ἀρέσκει τῷ
more for the Word fighting than as-much-as pleases the
Λόγῳ, καὶ ταὐτὸν πάσχοντες τοῖς μαινομένοις, οἳ τοὺς
Word and the-same suffering as-the madmen who the
ἰδίους οἴκους ἀνάπτουσιν, ἢ τοὺς παῖδας σπαράττουσιν,
own houses set-on-fire or the children tear
ἢ τοὺς γονέας περιωθοῦσιν, ὡς ἀλλοτρίους νομίζοντες.
or the parents push-away as alien(-ones) thinking(-them)

7 Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τοῦ λόγου τὸ ἀλλότριον, καὶ
since and we-have-cleared-away of-the word the alien and
εἰς τὴν ἀγέλην τῶν χοίρων ἀπεπεμψάμεθα τὸν πολὺν
into the herd of-the swine we-have-sent-off the great
λεγεῶνα κατὰ βυθῶν χωρήσαντα, ὃ δεύτερόν ἐστι,
legion down (the)-depths having-gone what second is
πρὸς ἡμᾶς αὐτοὺς ἴδωμεν, καὶ ξέσωμεν εἰς κάλλος,
to us selves let-us-look and let-us-polish into beauty
ὥσπερ ἀνδριάντα, τὸν θεολόγον. ἐκεῖνο δὲ πρῶτον
as (a)-statue the theologian that and first
λογισώμεθα, τίς ἡ τοσαύτη περὶ τὸν λόγον φιλοτιμία καὶ
let-us-reckon what the so-great about the word ambition and

γλωσσαλγία; τίς ἡ καινὴ νόσος αὕτη καὶ ἀπληστία; τί τὰς
tongue-itch what the new disease this and insatiability why the
χεῖρας δήσαντες τὰς γλώσσας ὡπλίσαμεν; οὐ φιλοξενίαν
hands having-bound the tongues have-we-armed not hospitality
ἐπαινοῦμεν; οὐ φιλαδελφίαν, οὐ φιλανδρίαν, οὐ παρθενίαν,
do-we-praise not brotherly-love not conjugal-love not virginity
οὐ πτωχοτροφίαν θαυμάζομεν; οὐ ψαλμῳδίαν, οὐ πάννυχον
not care-of-the-poor do-we-admire not psalmody not all-night
στάσιν, οὐ δάκρυον; οὐ τὸ σῶμα νηστείαις ὑποπιέζομεν;
standing not tears not the body with-fasts do-we-subdue
οὐ δι᾽ εὐχῆς πρὸς θεὸν ἐκδημοῦμεν; οὐ τῷ κρείττονι τὸ
not through prayer to God do-we-go-abroad not to-the better the
χεῖρον ὑποζεύγνυμεν, τὸν χοῦν λέγω τῷ πνεύματι, ὡς ἂν
worse do-we-subject the clay I-mean to-the spirit as —
οἱ τῷ κράματι δικαίως δικάζοντες; οὐ μελέτην θανάτου
the(-ones) the mixture justly judging not (a)-practice of-death
τὸν βίον ποιούμεθα; οὐ τῶν παθῶν δεσπόται καθιστάμεθα,
the life do-we-make not of-the passions masters are-we-made
μεμνημένοι τῆς ἄνωθεν εὐγενείας; οὐ θυμὸν τιθασσεύομεν
remembering the from-above nobility not anger do-we-tame
ἐξοιδοῦντα καὶ ἀγριαίνοντα; οὐκ ἔπαρσιν καταβάλλουσαν,
swelling and growing-savage not pride casting-down
οὐ λύπην ἀλόγιστον, οὐχ ἡδονὴν ἀπαίδευτον, οὐ γέλωτα
not grief unreasoning not pleasure uneducated not laughter
πορνικόν, οὐκ ὄψιν ἄτακτον, οὐκ ἀκοὴν ἄπληστον, οὐ
whorish not sight disorderly not hearing insatiable not
λόγον ἄμετρον, οὐ διάνοιαν ἔκτοπον, οὐχ ὅσα
speech unmeasured not mind out-of-place not as-many(-things)-as
παρ᾽ ἡμῶν ὁ πονηρὸς καθ᾽ ἡμῶν λαμβάνει, τὸν διὰ τῶν
from us the evil(-one) against us takes the through the
θυρίδων, ὡς ἡ γραφή φησιν, εἴτουν αἰσθητηρίων, εἰσάγων
windows as the scripture says or-rather senses bringing-in

θάνατον; πᾶν μὲν οὖν τοὐναντίον, καὶ τοῖς ἄλλων πάθεσιν
death all indeed then the-opposite and to-the of-others passions
ἐλευθερίαν δεδώκαμεν, ὥσπερ οἱ βασιλεῖς τὰς ἐπινικίους
freedom we-have-given as the kings the victory
ἀφέσεις, μόνον ἂν πρὸς ἡμᾶς νεύωσι, καὶ κατὰ θεοῦ
releases only if toward us they-nod and against God
φέρωνται θρασύτερον· καὶ κακὸν οὐ καλοῦ πράγματος
they-are-carried more-boldly and evil not of-good thing
μισθὸν ἀντιδίδομεν, τῆς ἀσεβείας τὴν παρρησίαν.
(the)-reward we-give-in-return of-the impiety the freedom-of-speech
8 Καίτοιγε, ὦ διαλεκτικὲ καὶ λάλε, ἐρωτήσω σέ τι
and-yet O dialectician and talker I-will-ask you something
μικρόν· Σὺ δὲ ἀπόκριναί, φησι τῷ Ἰὼβ ὁ διὰ
small you and answer he-says — to-Job the(-one) through
λαίλαπος καὶ νεφῶν χρηματίζων. πότερον πολλαὶ μοναὶ
whirlwind and clouds giving-oracles whether many abodes
παρὰ τῷ Θεῷ, ὅπερ ἀκούεις, ἢ μία; πολλαί, δώσεις
with — God which you-hear or one many you-will-grant
δηλαδή, καὶ οὐ μία. πότερον δὲ πληρωθῆναι δεῖ πάσας,
evidently and not one whether and to-be-filled must all
ἢ τὰς μέν, τὰς δὲ οὐ, ὡς εἶναι κενὰς καὶ μάτην
or the(-ones) indeed the(-others) and not so-that to-be empty and in-vain
ἡτοιμασμένας; ναὶ πάσας· οὐδὲν γὰρ εἰκῇ τῶν
prepared yes all nothing for at-random of-the(-things)
παρὰ θεοῦ γενομένων. ταύτην δὲ ὅ τί ποτε θήσεις
from God made this and what — ever you-will-make
τὴν μονήν, ἔχοις ἂν εἰπεῖν; ἆρα τὴν ἐκεῖθεν ἀνάπαυσίν
the mansion could-you — to-say is-it the thence rest
τε καὶ δόξαν τὴν ἀποκειμένην τοῖς μακαρίοις, ἢ ἄλλο
both and glory the laid-up for-the blessed or other
τι; οὐκ ἄλλο ἢ τοῦτο. ἐπειδὴ τοῦτο ὡμολογήσαμεν,
something not other than this since this we-agreed

κἀκεῖνο προσεξετάσωμεν. ἔστι τι τὸ ταύτας προξενοῦν
that-too let-us-further-examine is something the these procuring
τὰς μονάς, ὡς ὁ ἐμὸς λόγος, ἢ οὐδέν; ἔστι πάντως. τί
the abodes as the my word or nothing there-is by-all-means what
τοῦτο; τὸ διαφόρους εἶναι πολιτείας καὶ προαιρέσεις, καὶ
(is)-this the different to-be ways-of-life and choices and
ἄλλην ἀλλαχοῦ φέρειν κατὰ τὴν ἀναλογίαν τῆς πίστεως,
other elsewhere to-lead according-to the proportion of-the faith
ὅπερ καὶ ὁδοὺς ὀνομάζομεν. πάσας οὖν ὁδευτέον, ἢ τινὰς
which also ways we-name all then must-be-traveled or some
τῶν ὁδῶν τούτων; εἰ μὲν οἷόν τε τὸν αὐτόν, ἁπάσας·
of-the ways these if indeed possible — the same(-man) all
εἰ δὲ μή, ὅτι πλείστας· εἰ δὲ μή, τινάς· εἰ δὲ μηδὲ τοῦτο,
if but not as most if but not some if but not-even this
μέγα κἂν εἰ μίαν διαφερόντως, ὥς γέ μοι φαίνεται.
great even if one excellently as at-least to-me it-seems
ὀρθῶς τοῦτο ὑπολαμβάνεις. τί οὖν; ὅταν ἀκούσῃς μίαν
rightly this you-suppose what then when you-hear one
ὁδὸν εἶναι, καὶ ταύτην στενήν, τί σοι φαίνεται δηλοῦν
way to-be and this narrow what to-you seems to-show
ὁ λόγος; μίαν μὲν διὰ τὴν ἀρετήν· μία γάρ, κἂν εἰς
the word one indeed because-of the virtue one for even-if into
πολλὰ σχίζηται· στενὴν δὲ διὰ τοὺς ἱδρῶτας καὶ τὸ μὴ
many it-be-split narrow and because-of the sweats and the not
πολλοῖς εἶναι βατήν, ὡς πρὸς τὸ πλῆθος τῶν ἐναντίων
to-many to-be passable as compared-to the multitude of-the opposites
καὶ ὅσοι διὰ τῆς κακίας ὁδεύουσιν. οὕτω κἀμοὶ δοκεῖ.
and as-many-as through the vice travel so to-me-too it-seems
τί οὖν, ὦ βέλτιστε, εἴπερ τοῦτο οὕτως ἔχει, ὥσπερ
what then O best(-one) if-indeed this so is as
τινὰ πενίαν καταγνόντες τοῦ ἡμετέρου λόγου, πάσας τὰς
some poverty having-condemned of-the our word all the

ἄλλας ὁδοὺς ἀφέντες, πρὸς μίαν ταύτην φέρεσθε καὶ
other ways having-left to one this are-you-borne and
ὠθεῖσθε τὴν διὰ λόγου καὶ θεωρίας, ὡς μὲν αὐτοὶ
are-you-pushed the through word and contemplation as indeed you-yourselves
οἴεσθε, ὡς δὲ ἐγώ φημι, ἀδολεσχίας καὶ τερατείας;
think as but I say of-prating and of-marvel-mongering
ἐπιτιμάτω Παῦλος ὑμῖν, τοῦτο πικρῶς ὀνειδίζων μετὰ τὴν
let-rebuke Paul you this bitterly reproaching after the
ἀπαρίθμησιν τῶν χαρισμάτων, ἐν οἷς φησί· Μὴ πάντες
enumeration of-the gifts in which he-says not all
ἀπόστολοι; μὴ πάντες προφῆται; καὶ τὰ ἑξῆς.
(are)-apostles not all prophets and the(-things) following
9 Ἔστω δέ· ὑψηλὸς σύ, καὶ ὑψηλῶν πέρα, καὶ ὑπὲρ τὰς
let-it-be and lofty you and of-lofty(-things) beyond and above the
νεφέλας, εἰ βούλει, ὁ τῶν ἀθεάτων θεατής, ὁ τῶν ἀρρήτων
clouds if you-wish the of-the unseen seer the of-the unspeakable
ἀκροατής, ὁ μετὰ Ἠλίαν μετάρσιος, καὶ ὁ μετὰ
hearer the(-one) after Elijah aloft and the(-one) after
Μωυσέα θεοφανείας ἠξιωμένος, καὶ μετὰ Παῦλον οὐράνιος·
Moses of-theophany deemed-worthy and after Paul heavenly
τί καὶ τοὺς ἄλλους αὐθήμερον πλάττεις ἁγίους, καὶ
why also the others in-one-day do-you-mold (as)-saints and
χειροτονεῖς θεολόγους, καὶ οἷον ἐμπνεῖς τὴν παίδευσιν, καὶ
ordain theologians and as-it-were breathe-in the learning and
πεποίηκας λογίων ἀμαθῶν πολλὰ συνέδρια; τί τοῖς
have-made of-learned(-men) ignorant many councils why with-the
ἀραχνίοις ὑφάσμασιν ἐνδεσμεῖς τοὺς ἀσθενεστέρους, ὡς
spider's webs do-you-bind the weaker as
δή τι σοφὸν καὶ μέγα; τί σφηκιὰς ἐγείρεις κατὰ τῆς
indeed something wise and great why wasps'-nests do-you-rouse against the
πίστεως; τί σχεδιάζεις ἡμῖν διαλεκτικῶν ἀνάδοσιν, ὥσπερ
faith why do-you-improvise for-us of-dialecticians (a)-crop as

οἱ μῦθοι πάλαι τοὺς γίγαντας; τί τῶν ἀνδρῶν ὅσον
the myths of-old the giants why of-the men as-much-as
κοῦφον καὶ ἄνανδρον, ὥσπερ τινὰ συρφετόν, εἰς μίαν
(is)-light and unmanly as some refuse into one
χαράδραν συναγαγών, καὶ κολακείᾳ πλέον θηλύνας,
ravine having-gathered and by-flattery more having-made-effeminate
καινὸν ἀσεβείας ἐργαστήριον ἐδημιούργησας, οὐκ ἀσόφως
(a)-new of-impiety workshop you-fashioned not unwisely
τὴν ἄνοιαν αὐτῶν ἐκκαρπούμενος; Ἀντιλέγεις καὶ τούτοις;
the folly their harvesting do-you-object also to-these
καὶ οὐδαμοῦ σοι τἄλλα; καὶ τὴν γλῶσσαν δεῖ
and nowhere to-you the-other(-things) and the tongue (it)-must
δυναστεύειν πάντως, καὶ οὐ κατέχεις τὴν ὠδῖνα τοῦ
to-dominate by-all-means and not do-you-restrain the birth-pang of-the
λόγου; ἔχεις καὶ ἄλλας ὑποθέσεις πολλάς τε καὶ
word you-have also other subjects many both and
φιλοτίμους. ἐκεῖ τρέψον μετὰ τοῦ χρησίμου τὴν νόσον.
honorable there turn with the usefulness the disease
βάλλε μοι Πυθαγόρου τὴν σιωπήν, καὶ τοὺς κυάμους 10
pelt for-me of-Pythagoras the silence and the beans
τοὺς Ὀρφικούς, καὶ τὴν περὶ τὸ Αὐτὸς ἔφα καινοτέραν
the Orphic and the about the he-himself said newer
ἀλαζονείαν. βάλλε μοι Πλάτωνος τὰς ἰδέας, καὶ τὰς
boasting pelt for-me of-Plato the ideas and the
μετενσωματώσεις καὶ περιόδους τῶν ἡμετέρων ψυχῶν, καὶ
transmigrations and cycles of-the our souls and
τὰς ἀναμνήσεις, καὶ τοὺς οὐ καλοὺς διὰ τῶν καλῶν
the recollections and the not noble through the fair
σωμάτων ἐπὶ ψυχὴν ἔρωτας· Ἐπικούρου τὴν ἀθείαν, καὶ
bodies to soul loves of-Epicurus the atheism and
τὰς ἀτόμους, καὶ τὴν ἀφιλόσοφον ἡδονήν· Ἀριστοτέλους
the atoms and the unphilosophic pleasure of-Aristotle

τὴν μικρολόγον πρόνοιαν, καὶ τὸ ἔντεχνον, καὶ τοὺς
the petty providence and the artificial and the
θνητοὺς περὶ ψυχῆς λόγους, καὶ τὸ ἀνθρωπικὸν τῶν
mortal about soul arguments and the humanness of-the
δογμάτων· τῆς Στοᾶς τὴν ὀφρύν, τῶν Κυνῶν τὸ λίχνον
doctrines of-the Porch the eyebrow of-the Cynics the greedy
τε καὶ ἀγοραῖον. βάλλε μοι τὸ κενόν, τὸ πλῆρες τῶν
both and vulgar pelt for-me the void the full of-the
ληρημάτων, ὅσα περὶ θεῶν ἢ θυσιῶν, περὶ εἰδώλων,
nonsenses as-many-as about gods or sacrifices about idols
περὶ δαιμόνων ἀγαθῶν τε καὶ κακοποιῶν, ὅσα περὶ
about demons good both and evil-doing as-many-as about
μαντείας, θεαγωγίας, ψυχαγωγίας, ἄστρων δυνάμεως,
divination god-summoning soul-summoning of-stars power
τερατεύονται. εἰ δὲ σὺ ταῦτα μὲν ἀπαξιοῖς λόγου, ὡς
they-tell-marvels if but you these(-things) indeed deem-unworthy of-speech as
μικρά τε καὶ πολλάκις ἐληλεγμένα, περὶ δὲ τὰ σὰ στρέφῃ,
small both and often refuted about and the yours you-turn
καὶ ζητεῖς τὸ ἐν τούτοις φιλότιμον· ἐγώ σοι κἀνταῦθα
and seek the in these honorable I to-you even-here
παρέξομαι πλατείας ὁδούς. φιλοσόφει μοι περὶ κόσμου
will-furnish broad roads philosophize for-me about world
ἢ κόσμων, περὶ ὕλης, περὶ ψυχῆς, περὶ λογικῶν φύσεων
or worlds about matter about soul about rational natures
βελτιόνων τε καὶ χειρόνων, περὶ ἀναστάσεως, κρίσεως,
better both and worse about resurrection judgment
ἀνταποδόσεως, Χριστοῦ παθημάτων. ἐν τούτοις γὰρ
recompense of-Christ sufferings in these(-things) for
καὶ τὸ ἐπιτυγχάνειν οὐκ ἄχρηστον, καὶ τὸ διαμαρτάνειν
both the to-hit-the-mark not useless and the to-miss
ἀκίνδυνον. θεῷ δὲ ἐντευξόμεθα, νῦν μὲν ὀλίγα, μικρὸν
without-danger with-God and we-shall-converse now indeed (a)-little (a)-little

δὲ ὕστερον ἴσως τελεώτερον, ἐν αὐτῷ Χριστῷ Ἰησοῦ τῷ
and later perhaps more-perfectly in himself Christ Jesus the
κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· ἀμήν.
lord our to-whom the glory unto the ages amen

II · THE CLOUD

Gregory goes up the mountain as Moses did, each hearer climbing only as far as his purity allows, and enters the cloud, but sees only God's back parts, the majesty that reaches creation, not the first and unmixed nature. He turns a Greek theologian's saying round: God is impossible to express and still more impossible to conceive. Even creation escapes us; we know that God is, not what he is.

Ἐπειδὴ ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον, οἷόν τε 1
since we-have-cleansed by-the argument the theologian of-what-sort both
εἶναι χρὴ διελθόντες, καὶ οἷστισι φιλοσοφητέον, καὶ
to-be (he)-must having-gone-through and to-whom (one)-must-philosophize and
ἡνίκα, καὶ ὅσον· — ὅτι ὡς οἷόν τε καθαροῖς, ἵνα φωτὶ
when and how-far that as possible — to-(the)-pure that by-light
καταλαμβάνηται φῶς· καὶ τοῖς ἐπιμελεστέροις, ἵνα μὴ
may-be-grasped light and to-the more-diligent that not
ἄγονος ᾖ εἰς ἄγονον χώραν ἐμπίπτων ὁ λόγος· καὶ ὅταν
barren may-be into barren ground falling the word and when
γαλήνην ἔχωμεν ἔνδον ἀπὸ τῆς ἔξω περιφορᾶς, ὥστε μή,
calm we-have within from the outward whirl so-as not
καθάπερ οἱ λυττῶντες, τῷ πνεύματι διακόπτεσθαι· καὶ
like those raving in-the breath to-be-broken-off and
ὅσον ἐχωρήσαμεν, ἢ χωρούμεθα· — ἐπειδὴ ταῦτα οὕτω,
how-much we-have-grasped or are-grasped since these(-things) thus
καὶ ἐνεώσαμεν ἑαυτοῖς θεῖα νεώματα, ὥστε μὴ σπείρειν
also we-have-plowed for-ourselves divine fallows so-as not to-sow

ἐπ᾽ ἀκάνθαις, καὶ τὸ πρόσωπον τῆς γῆς ὠμαλίσαμεν,
upon thorns and the face of-the earth we-have-leveled
τῇ γραφῇ τυπωθέντες τε καὶ τυπώσαντες· φέρε, τοῖς
by-the scripture having-been-formed both and having-formed come to-the
τῆς θεολογίας ἤδη προσβῶμεν λόγοις, προστησάμενοι τοῦ
of-the theology now let-us-go-up discourses having-set-at-the-head of-the
λόγου τὸν πατέρα, καὶ τὸν υἱόν, καὶ τὸ πνεῦμα τὸ ἅγιον,
discourse the father and the son and the spirit the holy
περὶ ὧν ὁ λόγος, ὥστε τὸν μὲν εὐδοκεῖν, τὸν δὲ
about whom the discourse so-that the(-one) indeed to-be-pleased the(-other) and
συνεργεῖν, τὸ δὲ ἐμπνεῖν· μᾶλλον δὲ μίαν ἐκ τῆς
to-cooperate the(-third) and to-inspire rather and one from the
μιᾶς θεότητος γενέσθαι τὴν ἔλλαμψιν ἑνικῶς διαιρουμένην,
one godhead to-come the illumination singly divided
καὶ συναπτομένην διαιρέτως, ὃ καὶ παράδοξον.
and joined dividedly which also (is)-paradoxical

2 Ἀνιόντι δέ μοι προθύμως ἐπὶ τὸ ὄρος, ἢ τό γε
going-up and to-me eagerly to the mountain or the at-least
ἀληθέστερον εἰπεῖν, προθυμουμένῳ τε ἅμα καὶ ἀγωνιῶντι,
truer to-say being-eager both at-once and being-anxious
τὸ μὲν διὰ τὴν ἐλπίδα, τὸ δὲ διὰ τὴν
the(-one) indeed because-of the hope the(-other) and because-of the
ἀσθένειαν, ἵνα τῆς νεφέλης εἴσω γένωμαι, καὶ θεῷ
weakness that the cloud within I-may-come and with-God
συγγένωμαι (τοῦτο γὰρ κελεύει θεός), εἰ μέν τις Ἀαρών,
may-be-with this for commands God if indeed anyone (an)-Aaron
συνανίτω καὶ στηκέτω πλησίον, κἂν ἔξω μένειν
let-him-go-up-with(-me) and let-him-stand near even-if outside to-remain
τῆς νεφέλης δέῃ, τοῦτο δεχόμενος. εἰ δέ τις Ναδάβ,
of-the cloud he-must this accepting if and anyone (a)-Nadab
ἢ Ἀβιούδ, ἢ τῆς γερουσίας, ἀνίτω μέν, ἀλλὰ στηκέτω
or Abihu or of-the eldership let-him-go-up indeed but let-him-stand

πόρρωθεν, κατὰ τὴν ἀξίαν τῆς καθάρσεως. εἰ δέ τις
far-off according-to the worth of-the purification if and anyone
τῶν πολλῶν καὶ ἀναξίων ὕψους τοιούτου καὶ θεωρίας, εἰ
of-the many and unworthy of-height such and contemplation if
μὲν ἄναγνος πάντῃ, μηδὲ προσίτω, οὐ γὰρ ἀσφαλές·
indeed unpurified wholly not-even let-him-approach not for safe
εἰ δὲ πρόσκαιρα γοῦν ἡγνισμένος, κάτω μενέτω,
if and for-the-moment at-any-rate purified below let-him-remain
καὶ μόνης ἀκουέτω τῆς φωνῆς καὶ τῆς σάλπιγγος, τῶν
and only let-him-hear the voice and the trumpet of-the
ψιλῶν τῆς εὐσεβείας ῥημάτων· καπνιζόμενόν τε τὸ ὄρος
bare of-the piety words smoking both the mountain
βλεπέτω καὶ καταστραπτόμενον, ἀπειλήν τε ὁμοῦ καὶ
let-him-see and lightning-struck (a)-threat both together and
θαῦμα τοῖς ἀνιέναι μὴ δυναμένοις. εἰ δέ τις θηρίον
(a)-wonder to-those to-go-up not able if and anyone (a)-beast
ἐστὶ πονηρὸν καὶ ἀνήμερον καὶ ἀνεπίδεκτον πάντῃ λόγων
is evil and savage and unreceptive wholly of-words
θεωρίας καὶ θεολογίας, μὴ ἐμφωλευέτω ταῖς ὕλαις
of-contemplation and of-theology not let-him-lurk in-the woods
κακούργως καὶ κακοηθῶς, ἵνα τινὸς λάβηται δόγματος
maliciously and spitefully that some he-may-seize doctrine
ἢ ῥήματος, ἀθρόως προσπηδῆσαν, καὶ σπαράξῃ τοὺς
or word suddenly having-leaped and may-tear the
ὑγιαίνοντας λόγους ταῖς ἐπηρείαις, ἀλλ' ἔτι πόρρωθεν
sound words with-the insults but still far-off
στηκέτω, καὶ ἀποχωρείτω τοῦ ὄρους, ἢ λιθοβοληθήσεται,
let-him-stand and let-him-withdraw from-the mountain or he-will-be-stoned
καὶ συντριβήσεται, καὶ ἀπολεῖται κακῶς κακός· λίθοι
and will-be-crushed and will-perish badly (the)-bad(-one) stones
γὰρ τοῖς θηριώδεσιν οἱ ἀληθεῖς λόγοι καὶ στερροί. εἴτε
for to-the bestial the true words and solid whether

πάρδαλις εἴη, συναποθνησκέτω τοῖς ποικίλμασιν· εἴτε λέων
(a)-leopard he-be let-him-die-with the spots or (a)-lion
ἁρπάζων καὶ ὠρυόμενος καὶ ζητῶν ἥντινα βρῶσιν ποιήσεται
ravening and roaring and seeking which food he-will-make
τῶν ἡμετέρων ψυχῶν ἢ λέξεων· εἴτε σῦς καταπατῶν τοὺς
of-the our souls or phrases or (a)-hog trampling the
καλούς τε καὶ διαυγεῖς μαργαρίτας τῆς ἀληθείας· εἴτε
fair both and translucent pearls of-the truth or
λύκος Ἀραβικὸς καὶ ἀλλόφυλος, ἢ καὶ τούτων ὀξύτερος τοῖς
(a)-wolf Arabian and foreign or even than-these sharper in-the
σοφίσμασιν· εἴτε ἀλώπηξ, δολερά τις ψυχὴ καὶ ἄπιστος, καὶ
sophistries or (a)-fox crafty some soul and faithless and
ἄλλοτε ἄλλη, τοῖς καιροῖς καὶ ταῖς χρείαις συμμορφουμένη,
at-one-time other to-the times and the needs conforming
ἣν νεκρὰ τρέφει καὶ ὀδωδότα σώματα, ἢ ἀμπελῶνες μικροί,
which dead feed and stinking bodies or vineyards small
τῶν μεγάλων διαπεφευγότων· εἴτε τι ἄλλο τῶν ὠμοβόρων,
the great(-ones) having-escaped or any other of-the flesh-eating
καὶ ἀποβλήτων τῷ νόμῳ, καὶ οὐ καθαρῶν εἰς βρῶσίν
and rejected by-the law and not clean for eating
τε καὶ ἀπόλαυσιν. βούλεται γὰρ τούτων ἀποχωρήσας ὁ
both and enjoyment wishes for from-these having-withdrawn the
λόγος οὕτω πλαξὶ στερραῖς καὶ λιθίναις ἐγγράφεσθαι, καὶ
word thus on-tablets solid and stone to-be-written and
ταύταις ἀμφοτέρωθεν, διά τε τὸ φαινόμενον τοῦ νόμου
on-these on-both-sides because-of both the apparent of-the law
καὶ τὸ κρυπτόμενον· τὸ μὲν τοῖς πολλοῖς καὶ κάτω
and the hidden the(-one) indeed for-the many and below
μένουσι, τὸ δὲ τοῖς ὀλίγοις καὶ ἄνω φθάνουσιν.
remaining the(-other) and for-the few and above reaching

Τί τοῦτο ἔπαθον, ὦ φίλοι καὶ μύσται καὶ τῆς ἀληθείας 3
what this did-I-experience O friends and initiates and of-the truth
συνερασταί; ἔτρεχον μὲν ὡς θεὸν καταληψόμενος, καὶ
fellow-lovers I-ran indeed as God about-to-grasp and
οὕτως ἀνῆλθον ἐπὶ τὸ ὄρος, καὶ τὴν νεφέλην διέσχον,
thus I-went-up onto the mountain and the cloud I-passed-through
εἴσω γενόμενος ἀπὸ τῆς ὕλης καὶ τῶν ὑλικῶν, καὶ
within having-come from the matter and the material(-things) and
εἰς ἐμαυτὸν ὡς οἷόν τε συστραφείς. ἐπεὶ δὲ προσέβλεψα,
into myself as possible — having-turned when but I-looked
μόλις εἶδον θεοῦ τὰ ὀπίσθια· καὶ τοῦτο τῇ πέτρᾳ
scarcely I-saw of-God the back-parts and this by-the rock
σκεπασθείς, τῷ σαρκωθέντι δι' ἡμᾶς θεῷ Λόγῳ· καὶ
sheltered the made-flesh because-of us God Word and
μικρὸν διακύψας, οὐ τὴν πρώτην τε καὶ ἀκήρατον
(a)-little having-peeped-through not the first both and unmixed
φύσιν, καὶ ἑαυτῇ, λέγω δὴ τῇ τριάδι, γινωσκομένην, καὶ
nature and to-itself I-mean indeed to-the trinity known and
ὅση τοῦ πρώτου καταπετάσματος εἴσω μένει καὶ ὑπὸ
as-much-as of-the first veil within remains and by
τῶν χερουβὶμ συγκαλύπτεται, ἀλλ' ὅση τελευταία καὶ
the cherubim is-covered but as-much-as last and
εἰς ἡμᾶς φθάνουσα. ἡ δέ ἐστιν, ὅσα ἐμὲ γινώσκειν, ἡ ἐν
to us reaching it and is as-far-as me to-know the in
τοῖς κτίσμασι καὶ τοῖς ὑπ' αὐτοῦ προβεβλημένοις καὶ
the creatures and the(-things) by him put-forth and
διοικουμένοις μεγαλειότης, ἤ, ὡς ὁ θεῖος Δαβὶδ ὀνομάζει,
governed majesty or as the divine David names(-it)
μεγαλοπρέπεια. ταῦτα γὰρ θεοῦ τὰ ὀπίσθια, ὅσα μετ'
magnificence these for of-God the back-parts as-many-as after
ἐκεῖνον ἐκείνου γνωρίσματα, ὥσπερ αἱ καθ' ὑδάτων ἡλίου
him his tokens as the on waters of-(the)-sun

σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν
shadows and images to-the weak eyes showing the
ἥλιον, ἐπεὶ μὴ αὐτὸν προσβλέπειν οἷόν τε, τῷ ἀκραιφνεῖ τοῦ
sun since not itself to-look-at possible — by-the purity of-the
φωτὸς νικῶντα τὴν αἴσθησιν. οὕτως οὖν θεολογήσεις, κἂν
light overcoming the sense thus then you-will-speak-of-God even-if
ᾖς Μωυσῆς καὶ Φαραὼ θεός, κἂν μέχρι τρίτου κατὰ
you-be (a)-Moses and to-Pharaoh (a)-god even-if to (the)-third according-to
τὸν Παῦλον οὐρανοῦ φθάσῃς, καὶ ἀκούσῃς ἄρρητα ῥήματα·
— Paul heaven you-reach and hear unspeakable words
κἂν ὑπὲρ ἐκεῖνον γένῃ, ἀγγελικῆς τινὸς ἢ ἀρχαγγελικῆς
even-if beyond him you-be of-angelic some or archangelic
στάσεώς τε καὶ τάξεως ἠξιωμένος. κἂν γὰρ οὐράνιον
station both and rank deemed-worthy even-if for heavenly
ἅπαν, κἂν ὑπερουράνιόν τι, καὶ πολὺ τὴν φύσιν
every(-being) even-if supercelestial something and much in-the nature
ὑψηλότερον ἡμῶν ᾖ, καὶ ἐγγυτέρω θεοῦ, πλέον ἀπέχει θεοῦ
higher than-us be and nearer to-God more is-distant from-God
καὶ τῆς τελείας καταλήψεως, ἢ ὅσον ἡμῶν ὑπεραίρει
and from-the complete comprehension than as-much-as our it-surpasses
τοῦ συνθέτου καὶ ταπεινοῦ καὶ κάτω βρίθοντος κράματος.
the compound and lowly and downward weighing mixture

4 Ἀρκτέον οὖν οὕτω πάλιν. θεὸν νοῆσαι μὲν χαλεπόν·
(one)-must-begin then thus again God to-conceive indeed (is)-hard
φράσαι δὲ ἀδύνατον, ὥς τις τῶν παρ᾽ Ἕλλησι θεολόγων
to-express and impossible as one of-the among Greeks theologians
ἐφιλοσόφησεν, — οὐκ ἀτέχνως ἐμοὶ δοκεῖν, ἵνα καὶ
philosophized not artlessly to-me to-seem that both
κατειληφέναι δόξῃ τῷ χαλεπὸν εἰπεῖν, καὶ διαφύγῃ τῷ
to-have-grasped he-may-seem by-the hard to-say and may-escape by-the
ἀνεκφράστῳ τὸν ἔλεγχον. ἀλλὰ φράσαι μὲν ἀδύνατον, ὡς
inexpressible the refutation but to-express indeed impossible as

ὁ ἐμὸς λόγος, νοῆσαι δὲ ἀδυνατώτερον. τὸ μὲν γὰρ
the my account to-conceive and more-impossible the(-thing) indeed for
νοηθὲν τάχα ἂν λόγος δηλώσειεν, εἰ καὶ μὴ μετρίως, ἀλλ᾽
conceived perhaps — speech might-show if even not moderately but
ἀμυδρῶς γε, τῷ μὴ πάντῃ τὰ ὦτα διεφθαρμένῳ καὶ
dimly at-least to-the(-one) not wholly in-the ears corrupted and
νωθρῷ τὴν διάνοιαν. τὸ δὲ τοσοῦτον πρᾶγμα τῇ διανοίᾳ
sluggish in-the mind the but so-great thing with-the mind
περιλαβεῖν πάντως ἀδύνατον καὶ ἀμήχανον, μὴ ὅτι τοῖς
to-grasp wholly impossible and impracticable not only for-the
καταβεβλακευμένοις καὶ κάτω νεύουσιν, ἀλλὰ καὶ τοῖς λίαν
sluggish and downward inclining but also for-the very
ὑψηλοῖς τε καὶ φιλοθέοις, καὶ ὁμοίως πάσῃ γεννητῇ φύσει,
lofty both and God-loving and likewise for-every begotten nature
καὶ οἷς ὁ ζόφος οὗτος ἐπιπροσθεῖ καὶ τὸ παχὺ τοῦτο
and for-whom the gloom this stands-in-the-way and the thick this
σαρκίον πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν. οὐκ οἶδα δέ,
flesh toward the of-the true understanding not I-know but
εἰ μὴ καὶ ταῖς ἀνωτέρω καὶ νοεραῖς φύσεσιν, αἳ διὰ
whether not also to-the higher and intellectual natures which because-of
τὸ πλησίον εἶναι θεοῦ, καὶ ὅλῳ τῷ φωτὶ καταλάμπεσθαι,
the near to-be to-God and by-whole the light to-be-illumined
τυχὸν ἂν καὶ τρανοῖντο, εἰ καὶ μὴ πάντῃ, ἀλλ᾽ ἡμῶν
perhaps — also might-be-made-clear if even not wholly but than-us
γε τελεώτερόν τε καὶ ἐκτυπώτερον, καὶ ἄλλων ἄλλαι
at-least more-perfectly both and more-distinctly and than-others others
πλεῖον ἢ ἔλαττον, κατὰ τὴν ἀναλογίαν τῆς τάξεως.
more or less according-to the proportion of-the rank
Τοῦτο μὲν οὖν ἐνταῦθα κείσθω· τὸ δὲ ἡμέτερον, οὐχ 5
this indeed then here let-lie the(-thing) and our not
ἡ εἰρήνη τοῦ θεοῦ μόνον ὑπερέχει πάντα νοῦν καὶ
the peace — of-God only surpasses all understanding and

κατάληψιν, οὐδὲ ὅσα τοῖς δικαίοις ἐστὶν ἐν ἐπαγγελίαις
comprehension nor as-many-as for-the righteous are in promises
ἀποκείμενα, τὰ μήτε ὀφθαλμοῖς ὁρατά, μήτε ὠσὶν
laid-up the(-things) neither by-eyes visible nor by-ears
ἀκουστά, μήτε διανοίᾳ θεωρητά, κατὰ μικρὸν γοῦν, οὐδὲ
audible nor by-mind contemplated by little at-any-rate nor
ἡ τῆς κτίσεως ἀκριβὴς κατανόησις· καὶ γὰρ καὶ ταύτης
the of-the creation exact understanding and for even of-this
πείσθητι τὰς σκιὰς ἔχειν μόνον, ὅταν ἀκούσῃς· Ὄψομαι τοὺς
be-persuaded the shadows to-have only when you-hear I-will-see the
οὐρανούς, ἔργα τῶν δακτύλων σου, σελήνην καὶ ἀστέρας,
heavens works of-the fingers your moon and stars
καὶ τὸν ἐν αὐτοῖς πάγιον λόγον· ὡς οὐχὶ νῦν ὁρῶν, ὀψόμενος
and the in them fixed order as not now seeing about-to-see
δὲ ἔστιν ὅτε· ἀλλὰ πολὺ πρὸ τούτων ἡ ὑπὲρ ταῦτα,
but (there)-is (a-time)-when but much before these the beyond these(-things)
καὶ ἐξ ἧς ταῦτα, φύσις ἄληπτός τε καὶ ἀπερίληπτος·
and from which these(-things) nature ungraspable both and incomprehensible
λέγω δέ, οὐχ ὅτι ἔστιν, ἀλλ' ἥτις ἐστίν. οὐ γὰρ κενὸν τὸ
I-mean and not that it-is but what it-is not for empty the
κήρυγμα ἡμῶν, οὐδὲ ματαία ἡ πίστις ἡμῶν, οὐδὲ τοῦτό
preaching our nor vain the faith our nor this
ἐστιν ὃ δογματίζομεν· μὴ πάλιν τὴν εὐγνωμοσύνην ἡμῶν
is what we-teach lest again the candor our
ἀθείας λάβῃς ἀρχὴν καὶ συκοφαντίας, καὶ κατεπαρθῇς
of-atheism you-take (a)-starting-point and of-slander and be-elated
ὡς ὁμολογούντων τὴν ἄγνοιαν. πλεῖστον γὰρ διαφέρει
as(-of-us) confessing the ignorance most for differs
τοῦ εἶναί τι πεπεῖσθαι τὸ τί ποτέ ἐστι τοῦτο εἰδέναι.
from-the to-be something to-be-persuaded the what ever is this to-know

Sight and the natural law teach from the order of the world that God exists and is its cause, as a lyre implies its maker and player, but not what he is. He is not a body, which is bounded, composite, and changeable, and Gregory asks whether he is anywhere in place. To call him unbegotten, unoriginate, and incorruptible says what he is not, and whoever would tell his nature must say what he is.

Τοῦ μὲν γὰρ εἶναι θεόν, καὶ τὴν πάντων ποιητικήν τε 6
of-the indeed for to-be God and the of-all creative both
καὶ συνεκτικὴν αἰτίαν, καὶ ὄψις διδάσκαλος, καὶ ὁ φυσικὸς
and sustaining cause both sight (is)-teacher and the natural
νόμος· ἡ μὲν τοῖς ὁρωμένοις προσβάλλουσα,
law the(-one) indeed on-the(-things) seen falling
καὶ πεπηγόσι καλῶς καὶ ὁδεύουσι, καὶ ἀκινήτως, ἵνα
and fixed beautifully and journeying and immovably that
οὕτως εἴπω, κινουμένοις καὶ φερομένοις· ὁ δὲ διὰ
thus I-may-say moved and borne the(-other) and through
τῶν ὁρωμένων καὶ τεταγμένων τὸν ἀρχηγὸν τούτων
the(-things) seen and ordered the author of-these
συλλογιζόμενος. πῶς γὰρ ἂν καὶ ὑπέστη τόδε τὸ
inferring how for — even would-have-subsisted this the
πᾶν, ἢ συνέστη, μὴ θεοῦ τὰ πάντα καὶ οὐσιώσαντος
universe or held-together not God the all(-things) both having-given-being
καὶ συνέχοντος; οὐδὲ γὰρ κιθάραν τις ὁρῶν κάλλιστα
and sustaining nor for (a)-lyre anyone seeing most-beautifully
ἠσκημένην καὶ τὴν ταύτης εὐαρμοστίαν καὶ εὐταξίαν, ἢ
wrought and the its harmony and order or
τῆς κιθαρῳδίας αὐτῆς ἀκούων, ἄλλο τι ἢ τὸν τῆς
the lyre-playing itself hearing other anything than the of-the
κιθάρας δημιουργὸν καὶ τὸν κιθαρῳδὸν ἐννοήσει, καὶ πρὸς
lyre maker and the lyre-player will-think-of and to

αὐτὸν ἀναδραμεῖται τῇ διανοίᾳ, κἂν ἀγνοῶν τύχῃ
him will-run-up in-the mind even-if not-knowing(-him) he-happen
ταῖς ὄψεσιν. οὕτω καὶ ἡμῖν τὸ ποιητικὸν δῆλον, καὶ τὸ
by-the sight thus also to-us the creative(-cause) (is)-clear and the(-thing)
κινοῦν καὶ τηροῦν τὰ πεποιημένα, κἂν μὴ διανοίᾳ
moving and preserving the(-things) made even-if not by-mind
περιλαμβάνηται· καὶ λίαν ἀγνώμων ὁ μὴ μέχρι τούτων
it-be-grasped and very unfeeling the(-one) not as-far-as these
προιὼν ἑκουσίως καὶ ταῖς φυσικαῖς ἑπόμενος ἀποδείξεσιν.
advancing willingly and the natural following proofs
ἀλλ᾽ οὐδὲ τοῦτο εἶναι θεόν, ὅπερ ἐφαντάσθημεν, ἢ
but not-even this to-be God which we-imagined or
ἀνετυπωσάμεθα, ἢ λόγος ὑπέγραψεν. εἰ δέ τις ἐν περινοίᾳ
we-pictured or reason sketched if and anyone in comprehension
τούτου ποτὲ κἂν ἐπὶ ποσὸν ἐγένετο, τίς ἡ ἀπόδειξις; τίς
of-this ever even to some-degree came what the proof who
οὕτως εἰς ἔσχατον σοφίας ἀφίκετο; τίς τοσούτου χαρίσματος
so to (the)-extreme of-wisdom came who of-so-great gift
ἠξιώθη ποτέ; τίς οὕτω τὸ στόμα τῆς διανοίας ἤνοιξε καὶ
was-deemed-worthy ever who so the mouth of-the mind opened and
εἵλκυσε πνεῦμα, ἵνα τῷ τὰ πάντα ἐρευνῶντι καὶ γινώσκοντι
drew-in spirit that by-the the all(-things) searching and knowing
καὶ τὰ βάθη τοῦ θεοῦ πνεύματι θεὸν καταλάβῃ, καὶ μηκέτι
even the depths — of-God spirit God he-may-grasp and no-longer
τοῦ πρόσω δέηται, τὸ ἔσχατον ὀρεκτὸν ἔχων ἤδη, καὶ
of-the further he-may-need the last object-of-desire having already and
εἰς ὃ πᾶσα σπεύδει καὶ πολιτεία τοῦ ὑψηλοῦ καὶ διάνοια;
to which all hastens both conduct of-the lofty(-man) and thought

7 Τί γάρ ποτε ὑπολήψῃ τὸ θεῖον, εἴπερ ὅλαις ταῖς
what for ever will-you-suppose the divine if-indeed with-whole the
λογικαῖς πιστεύεις ἐφόδοις; ἢ πρὸς τί σε ὁ λόγος ἀνάξει
rational you-trust methods or to what you the argument will-lead-up

βασανιζόμενος, ὦ φιλοσοφώτατε σὺ καὶ θεολογικώτατε καὶ
being-tested O most-philosophical you and most-theological and
καυχώμενε εἰς τὰ ἄμετρα; πότερον σῶμα; καὶ πῶς
boasting into the measureless(-things) whether (a)-body and how
τὸ ἄπειρον, καὶ ἀόριστον, καὶ ἀσχημάτιστον, καὶ ἀναφές,
the infinite and unbounded and shapeless and intangible
καὶ ἀόρατον; ἢ καὶ ταῦτα σώματα; τῆς ἐξουσίας· οὐ γὰρ
and invisible or even these bodies of-the license not for
αὕτη φύσις σωμάτων. ἢ σῶμα μέν, οὐχὶ ταῦτα δέ; τῆς
this nature of-bodies or (a)-body indeed not these(-things) but of-the
παχύτητος· ἵνα μηδὲν πλέον ἡμῶν ἔχῃ τὸ θεῖον. πῶς
grossness that nothing more than-us may-have the divine how
γὰρ σεπτόν, εἰ περιγραπτόν; ἢ πῶς φεύξεται τὸ ἐκ
for (is-it)-venerable if circumscribed or how will-it-escape the of
στοιχείων συγκεῖσθαι καὶ εἰς αὐτὰ πάλιν ἀναλύεσθαι, ἢ
elements to-be-composed and into them again to-be-resolved or
καὶ ὅλως λύεσθαι; σύνθεσις γὰρ ἀρχὴ μάχης· μάχη
even wholly to-be-dissolved composition for (the)-beginning of-strife strife
δὲ διαστάσεως· ἡ δὲ λύσεως· λύσις δὲ ἀλλότριον πάντῃ
and of-separation this and of-dissolution dissolution but alien wholly
θεοῦ καὶ τῆς πρώτης φύσεως. οὐκ οὖν διάστασις, ἵνα μὴ
to-God and to-the first nature not then separation that not
λύσις· οὐδὲ μάχη, ἵνα μὴ διάστασις· οὐδὲ σύνθεσις, ἵνα μὴ
dissolution nor strife that not separation nor composition that not
μάχη· διὰ τοῦτο οὐδὲ σῶμα, ἵνα μὴ σύνθεσις. ἐκ τῶν
strife because-of this nor body that not composition from the
τελευταίων ἐπὶ τὰ πρῶτα ὁ λόγος ἀνιὼν οὕτως ἵσταται.
last(-things) to the first(-things) the argument going-up thus stands
Πῶς δὲ καὶ σωθήσεται τὸ διὰ πάντων διήκειν καὶ 8
how and also will-be-saved the through all to-pervade and
πληροῦν τὰ πάντα θεόν, κατὰ τό· Οὐχὶ τὸν οὐρανὸν
to-fill the all(-things) God according-to the(-saying) not the heaven

καὶ τὴν γῆν ἐγὼ πληρῶ; λέγει κύριος, καί· Πνεῦμα κυρίου
and the earth I fill says (the)-lord and (the)-Spirit of-(the)-lord
πεπλήρωκε τὴν οἰκουμένην, εἰ τὸ μὲν περιγράφοι,
has-filled the world if the(-one) indeed should-circumscribe
τὸ δὲ περιγράφοιτο; ἢ γὰρ διὰ κενοῦ χωρήσει
the(-other) and should-be-circumscribed either for through (a)-void he-will-pass
τοῦ παντός, καὶ τὰ πάντα οἰχήσεται ἡμῖν, ἵν' ὑβρισθῇ
of-the universe and the all(-things) will-be-gone for-us that may-be-insulted
θεός, καὶ σῶμα γενόμενος, καὶ οὐκ ἔχων ὅσα πεποίηκεν· ἢ
God both (a)-body having-become and not having what he-has-made or
σῶμα ἐν σώμασιν ἔσται, ὅπερ ἀδύνατον· ἢ πλακήσεται
(a)-body among bodies he-will-be which (is)-impossible or he-will-be-interwoven
καὶ ἀντιπαρατεθήσεται, ὥσπερ ὅσα τῶν ὑγρῶν μίγνυται,
and be-set-side-by-side as what of-the liquids are-mixed
καὶ τὸ μὲν τέμνει, ὑπὸ δὲ τοῦ τμηθήσεται, ὃ
and the(-one) indeed cuts by and the(-other) will-be-cut which
καὶ τῶν Ἐπικουρείων ἀτόμων ἀτοπώτερόν τε καὶ
even than-the Epicurean atoms more-absurd both and
γραωδέστερον· καὶ οὕτω διαπεσεῖται ἡμῖν, καὶ σῶμα οὐχ
more-old-wifish and thus will-collapse for-us and body not
ἕξει, οὐδὲ πῆξίν τινα, ὁ περὶ τοῦ σώματος λόγος. εἰ δὲ
will-have nor firmness any the about the body argument if and
ἄυλον φήσομεν, εἰ μὲν τὸ πέμπτον, ὥς τισιν ἔδοξε, καὶ
immaterial we-shall-say if indeed the fifth(-body) as to-some it-seemed and
τὴν κύκλῳ φορὰν φερόμενον, ἔστω μὲν ἄυλόν τι
the circular motion moving let-it-be indeed immaterial something
καὶ πέμπτον σῶμα, εἰ βούλονται δέ, καὶ ἀσώματον,
and (a)-fifth body if they-wish and even bodiless
κατὰ τὴν αὐτόνομον αὐτῶν τοῦ λόγου φορὰν καὶ
according-to the self-governed their of-the argument drift and
ἀνάπλασιν· οὐδὲν γὰρ νῦν περὶ τούτου διοίσομαι. κατὰ
fashioning not-at-all for now about this I-will-differ in

τί δὲ τῶν κινουμένων ἔσται καὶ φερομένων, ἵνα μὴ
what and of-the(-things) moved will-he-be and borne that not
λέγω τὴν ὕβριν, εἰ τὰ αὐτὰ τοῖς πεποιημένοις
I-may-mention the insult if the same as-the(-things) made
ὁ πεποιηκὼς κινηθήσεται, καὶ τοῖς φερομένοις
the(-one) having-made will-be-moved and as-the(-things) borne
ὁ φέρων, εἴ γε καὶ τοῦτο δώσουσι; τί δὲ τὸ
the(-one) bearing if at-least even this they-will-grant what and the(-thing)
τοῦτο πάλιν κινοῦν; τί δὲ τὸ τὸ πᾶν κινοῦν;
this again moving what and the(-thing) the universe moving
κἀκεῖνο τί; καὶ τί πάλιν ἐκεῖνο; καὶ τοῦτο εἰς ἄπειρον.
and-that what and what again that and this to infinity
πῶς δὲ οὐκ ἐν τόπῳ πάντως, εἴ γε φερόμενον; εἰ
how and not in place altogether if at-least borne if
δὲ ἄλλο τι παρὰ τὸ πέμπτον φήσουσιν, εἰ μὲν
and other something besides the fifth they-will-say if indeed
ἀγγελικόν, πόθεν ὅτι ἄγγελοι σώματα, καὶ τίνα ταῦτα; καὶ
angelic whence that angels (are)-bodies and what these and
πόσον ὑπὲρ ἄγγελον εἴη θεός, οὗ λειτουργὸς ἄγγελος;
how-much above angel would-be God whose minister (an)-angel
εἰ δὲ ὑπὲρ ταῦτα, πάλιν εἰσήχθη σωμάτων ἐσμὸς
if and above these again has-been-brought-in of-bodies (a)-swarm
ἀλόγιστος, καὶ φλυαρίας βυθός, οὐδαμοῦ στῆναι δυνάμενος.
senseless and of-nonsense (a)-depth nowhere to-stop able
Οὕτω μὲν οὖν οὐ σῶμα ἡμῖν ὁ θεός. οὐδὲ γὰρ ἤδη τις 9
thus indeed then not (a)-body for-us — God nor for yet anyone
τοῦτο τῶν θεοπνεύστων ἢ εἶπεν ἢ παρεδέξατο, οὐδὲ
this of-the inspired either said or accepted nor
τῆς ἡμετέρας αὐλῆς ὁ λόγος. λείπεται δὴ ἀσώματον
of-the our fold the doctrine it-remains indeed bodiless
ὑπολαμβάνειν. ἀλλ᾽ εἰ ἀσώματον, οὔπω μὲν οὐδὲ τοῦτο
to-suppose(-him) but if bodiless not-yet indeed not-even this

τῆς οὐσίας παραστατικόν τε καὶ περιεκτικόν, ὥσπερ οὐδὲ
of-the substance representative both and comprehensive as not-even
τὸ ἀγέννητον, καὶ τὸ ἄναρχον, καὶ τὸ ἀναλλοίωτον, καὶ τὸ
the unbegotten and the unoriginate and the unchangeable and the
ἄφθαρτον, καὶ ὅσα περὶ θεοῦ ἢ περὶ θεὸν εἶναι λέγεται.
incorruptible and whatever about God or around God to-be is-said
τί γὰρ ὄντι αὐτῷ κατὰ τὴν φύσιν καὶ τὴν ὑπόστασιν
what for being to-him according-to the nature and the hypostasis
ὑπάρχει τὸ μὴ ἀρχὴν ἔχειν, μηδὲ ἐξίστασθαι, μηδὲ
belongs the not (a)-beginning to-have nor to-change nor
περατοῦσθαι; ἀλλ' ὅλον τὸ εἶναι περιλαμβάνειν λείπεται
to-be-limited but whole the being to-comprehend it-remains
προσφιλοσοφεῖν τε καὶ προσεξετάζειν τῷ γε νοῦν
to-philosophize-further both and to-examine-further for-the(-one) at-least (the)-mind
θεοῦ ἀληθῶς ἔχοντι καὶ τελεωτέρῳ τὴν θεωρίαν. ὡς
of-God truly having and more-perfect in-the contemplation as
γὰρ οὐκ ἀρκεῖ τὸ σῶμα εἰπεῖν, ἢ τὸ γεγεννῆσθαι, πρὸς
for not suffices the body to-say or the to-have-been-begotten for
τὸ καὶ τό, περὶ ὃ ταῦτα, παραστῆσαί τε καὶ
the also the(-thing) about which these(-things) to-present both and
δηλῶσαι, ἀλλὰ δεῖ καὶ τὸ ὑποκείμενον τούτοις εἰπεῖν,
to-show but (one)-must also the subject to-these to-say
εἰ μέλλοι τελείως καὶ ἀποχρώντως τὸ νοούμενον
if he-is-to perfectly and sufficiently the(-thing) thought
παραστήσεσθαι· ἢ γὰρ ἄνθρωπος ἢ βοῦς ἢ ἵππος τοῦτο
to-present either for (a)-man or (an)-ox or (a)-horse this
τὸ ἐνσώματον καὶ γεννώμενον καὶ φθειρόμενον· οὕτως
the embodied and begotten and perishing thus
οὐδὲ ἐκεῖ στήσεται μέχρι τοῦ εἰπεῖν ἃ μή ἐστιν ὁ
not-even there will-stop up-to the to-say what not it-is the(-one)
τὴν τοῦ ὄντος πολυπραγμονῶν φύσιν, ἀλλὰ δεῖ, πρὸς
the of-the being(-one) busily-inquiring-into nature but (one)-must besides

τῷ εἰπεῖν ἃ μή ἐστι, καὶ ὅ ἐστιν εἰπεῖν, — ὅσῳ καὶ
the to-say what not it-is also what it-is to-say by-as-much also
ῥᾷον ἕν τι περιλαβεῖν, ἢ τὰ πάντα καθ᾽ ἕκαστον
easier one something to-grasp than the all(-things) by each
ἀπειπεῖν, — ἵνα ἔκ τε τῆς ἀναιρέσεως ὧν οὔκ ἐστι,
to-deny that from both the removal of-what not it-is
καὶ τῆς οὗ ἐστὶ θέσεως, περιληφθῇ τὸ νοούμενον.
and the of-what it-is affirmation may-be-grasped the(-thing) thought
ὁ δὲ ἃ μὲν οὔκ ἐστι λέγων, σιωπῶν δὲ ὅ ἐστι,
the(-one) and what indeed not it-is saying keeping-silent but what it-is
ποιεῖ παραπλήσιον, ὥσπερ ἂν εἰ τὰ πέντε δὶς ὅσα
does (a)-similar(-thing) as — if the five twice how-much
ἐστὶν ἐρωτώμενος ὅτι μὲν οὐ δύο λέγοι, οὐδὲ τρεῖς,
are being-asked that indeed not two he-should-say nor three
οὐδὲ τέσσαρες, οὐδὲ πέντε, οὐδὲ εἴκοσιν, οὐδὲ τριάκοντα,
nor four nor five nor twenty nor thirty
οὐδέ τινα, ἵνα συνελὼν εἴπω, τῶν ἐντὸς δεκάδος ἢ
nor any that in-short I-may-say of-the within ten or
δεκαδικῶν ἀριθμῶν· ὅτι δὲ εἴη δέκα μὴ λέγοι, μηδὲ
decimal numbers that but it-is ten not should-say nor
ἐρείδοι τὸν νοῦν τοῦ ἐρωτῶντος εἰς τὸ ζητούμενον.
should-fix the mind of-the(-one) asking on the(-thing) sought
πολλῷ γὰρ ῥᾷον καὶ συντομώτερον ἐκ τοῦ ὅ ἐστιν
by-much for easier and shorter from the what it-is
ὅσα οὔκ ἐστι δηλῶσαι, ἢ ἐκ τοῦ ἀνελεῖν ἃ μή ἐστιν
what not it-is to-show than from the to-remove what not it-is
ὅ ἐστιν ἐνδείξασθαι. Ἢ τοῦτο μὲν παντὶ δῆλον.
what it-is to-indicate or this indeed to-everyone (is)-clear
ἐπεὶ δέ ἐστιν ἀσώματον ἡμῖν τὸ θεῖον, μικρόν τι 10
since and is bodiless for-us the divine (a)-little something
προσεξετάσωμεν· πότερον οὐδαμοῦ τοῦτο, ἢ ἔστιν ὅπου; εἰ
let-us-examine-further whether nowhere this or (there)-is where if

μὲν γὰρ οὐδαμοῦ, ζητήσαι τις ἂν τῶν ἄγαν ἐξεταστικῶν,
indeed for nowhere might-ask one — of-the very inquisitive
πῶς ἂν καὶ εἴη. εἰ γὰρ τὸ μὴ ὂν οὐδαμοῦ, τὸ
how — even it-would-be if for the not being (is)-nowhere the(-thing)
μηδαμοῦ τυχὸν οὐδὲ ὄν. εἰ δέ ἐστί που, πάντως
nowhere perhaps not-even being if and it-is somewhere altogether
ἐπείπερ ἐστὶν ἢ ἐν τῷ παντὶ ἢ ὑπὲρ τὸ πᾶν. ἀλλ' εἰ
since it-is either in the universe or beyond the universe but if
μὲν ἐν τῷ παντί, ἤ τινι, ἢ πανταχοῦ. καὶ εἰ μὲν
indeed in the universe either in-some(-part) or everywhere and if indeed
ἔν τινι, ὑπ' ἐλάττονος περιγραφήσεται τοῦ τινός, εἰ
in some(-part) by (a)-smaller it-will-be-circumscribed the some(-part) if
δὲ πανταχοῦ, ὑπὸ πλείονος καὶ ἄλλου πολλοῦ, λέγω δὲ
and everywhere by (a)-greater and another much I-mean and
τὸ περιεχόμενον τοῦ περιέχοντος, εἰ τὸ πᾶν ὑπὸ τοῦ
the(-thing) contained by-the container if the universe by the
παντὸς μέλλοι περισχεθήσεσθαι, καὶ μηδένα τόπον εἶναι
universe is-to be-contained and no place to-be
περιγραφῆς ἐλεύθερον. ταῦτα μέν, εἰ ἐν τῷ παντί. καὶ
from-circumscription free these(-things) indeed if in the universe and
ποῦ πρὶν γενέσθαι τὸ πᾶν; οὐδὲ γὰρ τοῦτο μικρὸν
where before to-come-into-being the universe not for this (a)-small(-thing)
εἰς ἀπορίαν. εἰ δὲ ὑπὲρ τὸ πᾶν, ἆρ' οὐδὲν ἦν τὸ
toward perplexity if and beyond the universe (is-it-that) nothing was the(-thing)
διορίζον αὐτὸ τοῦ παντός; ποῦ δὲ τὸ ὑπὲρ τοῦτο;
separating it from-the universe where and the(-thing) beyond this
καὶ πῶς ἐνοήθη τὸ ὑπεραῖρον καὶ ὑπεραιρόμενον, οὐκ
and how was-conceived the(-thing) surpassing and surpassed not
ὄντος ὅρου τινὸς τοῦ τέμνοντος ταῦτα καὶ διορίζοντος;
being boundary some the(-one) cutting these and separating
ἢ χρὴ πάντως εἶναι τὸ μέσον, καὶ ᾧ περατοῦται
or (one)-must altogether to-be the middle(-thing) and by-which is-bounded

τὸ πᾶν καὶ τὸ ὑπὲρ τὸ πᾶν; καὶ τί ἄλλο τοῦτο
the universe and the(-thing) beyond the universe and what else this
ἢ τόπος ἐστίν, ὅνπερ ἐφύγομεν; καὶ οὔπω λέγω τὸ
than place is which-very we-fled and not-yet I-say the(-thing)
περιγραπτὸν πάντως εἶναι τὸ θεῖον, καὶ εἰ διανοίᾳ
circumscribed altogether to-be the divine even if by-thought
καταληπτόν· ἓν γὰρ περιγραφῆς εἶδος καὶ ἡ κατάληψις.
comprehensible one for of-circumscription kind also the comprehension

IV · THE MIND'S LIMITS

God is beyond us not from envy but so that the hard-won is kept and we do not fall like the morning star. Our mind cannot think of him without bodily images; the body's darkness stands between, like the cloud between the Egyptians and the Hebrews. Longing for God, men worshiped sun, moon, stars, elements, the dead, their passions, and beasts: the evil one's trick, turning that longing to his use and hurling them into the pit of death.

Τίνος οὖν ἕνεκεν ταῦτα διῆλθον, καὶ περιεργότερον 11
of-what then for-the-sake these(-things) have-I-gone-through and more-elaborately
ἴσως ἢ κατὰ τὰς τῶν πολλῶν ἀκοάς, καὶ κατὰ τὸν
perhaps than according-to the of-the many ears and according-to the
νῦν κεκρατηκότα τύπον τῶν λόγων, ὃς τὸ γενναῖον καὶ
now prevailing style of-the speeches which the noble and
ἁπλοῦν ἀτιμάσας τὸ σκολιὸν καὶ γριφοειδὲς ἐπεισήγαγεν·
simple having-dishonored the crooked and riddling introduced
ὡς ἐκ τῶν καρπῶν τὸ δένδρον γινώσκεσθαι, λέγω δὲ
that from the fruits the tree to-be-known I-mean and
τὸ ἐνεργοῦν τὰ τοιαῦτα δόγματα σκότος ἐκ τοῦ ζόφου
the(-thing) working the such doctrines darkness from the gloom
τῶν λεγομένων; οὐ γὰρ ἵνα καὶ αὐτὸς παράδοξα
of-the(-things) said not for that also myself paradoxes

λέγειν δόξω, καὶ περιττὸς φαίνωμαι τὴν σοφίαν, πλέκων
to-say I-may-seem and extraordinary appear in-the wisdom weaving
συνδέσμους καὶ διαλύων κρατούμενα· τοῦτο δὴ τὸ μέγα
knots and untying held(-things) this indeed the great
θαῦμα τοῦ Δανιήλ· ἀλλ' ἵν' ἐκεῖνο δηλώσαιμι, ὅ μοι
wonder — of-Daniel but that that I-might-show which to-me
λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησεν. τοῦτο δὲ ἦν τί;
to-say the argument from (the)-beginning set-out this and was what
τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ θεῖον, μηδὲ
the not graspable to-be by-human mind the divine nor
ὅλον ὅσον ἐστὶ φαντάζεσθαι· καὶ τοῦτο οὔτε διὰ
whole as-much-as it-is to-be-imagined and this neither because-of
φθόνον, — μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος, τῆς
envy far for from-the divine nature envy the
γε ἀπαθοῦς καὶ μόνης ἀγαθῆς καὶ κυρίας, καὶ μάλιστα
at-least impassible and alone good and sovereign and especially
τῶν ἑαυτοῦ κτισμάτων περὶ τὸ τιμιώτατον· τί γὰρ
of-the its-own creatures toward the(-thing) most-precious what for
Λόγῳ πρὸ τῶν λογικῶν; ἐπεὶ καὶ αὐτὸ τὸ ὑποστῆναι
to-(the)-Word before the rational(-beings) since even the-very the to-come-into-being
τῆς ἄκρας ἀγαθότητος· — οὔτε εἰς τιμὴν ἑαυτοῦ καὶ
of-the highest goodness nor for honor of-itself and
δόξαν τοῦ πλήρους, ἵνα τῷ ἀνεφίκτῳ τὸ τίμιον ἔχῃ
glory of-the full(-one) that by-the unattainable the honor it-may-have
καὶ τὸ σεβάσμιον. τοῦτο γὰρ πάντως σοφιστικὸν καὶ
and the reverence this for altogether sophistical and
ἀλλότριον, μὴ ὅτι θεοῦ, ἀλλ' οὐδὲ ἀνθρώπου μετρίως
alien not only to-God but not-even to-(a)-man moderately
ἐπιεικοῦς, καί τι δεξιὸν ἑαυτῷ συνειδότος, ἐκ τοῦ
decent and some(-thing) good to-himself conscious from the
κωλύειν ἑτέρους τὸ πρωτεῖον πορίζεσθαι.
to-hinder others the first-place to-procure

Ἀλλ᾽ εἰ μὲν καὶ δι᾽ ἄλλας αἰτίας, εἰδεῖεν ἂν οἱ 12
but if indeed also because-of other causes would-know — those
ἐγγυτέρω θεοῦ, καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων
nearer to-God and of-the unsearchable his judgments
ἐπόπται καὶ θεωροί, εἴπερ εἰσί τινες τοσοῦτοι τὴν ἀρετήν,
overseers and beholders if-indeed are any so-great in-the virtue
καὶ ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες, τὸ δὴ
and in (the)-tracks of-(the)-abyss walking the(-thing) indeed
λεγόμενον. ὅσον δ᾽ οὖν ἡμεῖς κατειλήφαμεν, μικροῖς
said as-much-as and then we have-grasped with-small
μέτροις μετροῦντες τὰ δυσθεώρητα, τάχα μέν, ἵνα
measures measuring the(-things) hard-to-see perhaps indeed that
μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως ῥᾴστη γένηται καὶ ἡ
not by-the ease of-the acquisition very-easy may-become also the
τοῦ κτηθέντος ἀποβολή· φιλεῖ γὰρ τὸ μὲν πόνῳ
of-the(-thing) acquired loss is-wont for the(-thing) indeed by-toil
κτηθὲν μᾶλλον κρατεῖσθαι, τὸ δὲ ῥᾳδίως κτηθὲν καὶ
acquired rather to-be-held the(-thing) but easily acquired also
ἀποπτύεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον· καὶ
to-be-spat-out very-quickly as again to-be-taken able and
οὕτως εὐεργεσία καθίσταται τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας,
thus (a)-benefit becomes the not ready-to-hand of-the benefit
τοῖς γε νοῦν ἔχουσι. τάχα δέ, ὡς μὴ ταὐτὸν ἡμᾶς τῷ
for-those at-least sense having perhaps and so-that not the-same we as-the
πεσόντι ἑωσφόρῳ πάσχειν, ἐκ τοῦ τὸ φῶς ὅλον χωρῆσαι
fallen morning-star suffer from the the light whole to-have-contained
κατέναντι κυρίου παντοκράτορος τραχηλιᾷν, καὶ πίπτειν ἐκ
against (the)-lord almighty to-stiffen-the-neck and to-fall from
τῆς ἐπάρσεως πτῶμα πάντων ἐλεεινότατον. τυχὸν δέ, ἵν᾽
the exaltation (a)-fall of-all most-pitiable perhaps and that
ᾖ τι πλέον ἐκεῖθεν ἆθλον φιλοπονίας καὶ λαμπροῦ
there-may-be some greater thence prize of-diligence and bright

βίου τοῖς ἐνταῦθα κεκαθαρμένοις καὶ μακροθυμοῦσι πρὸς
life for-those here purified and long-patient toward
τὸ ποθούμενον. διὰ τοῦτο μέσος ἡμῶν τε καὶ θεοῦ
the(-thing) longed-for because-of this in-the-midst of-us both and of-God
ὁ σωματικὸς οὗτος ἵσταται γνόφος, ὥσπερ ἡ νεφέλη τὸ
the bodily this stands thick-darkness like the cloud the
πάλαι τῶν Αἰγυπτίων καὶ τῶν Ἑβραίων. καὶ τοῦτό ἐστιν
of-old of-the Egyptians and of-the Hebrews and this is
ἴσως, ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ, τὴν ἡμετέραν
perhaps what he-made darkness (the)-hiding-place his the our
παχύτητα, δι' ἣν ὀλίγοι καὶ μικρὸν διακύπτουσιν. τοῦτο
grossness through which few and (a)-little peep-through this
μὲν οὖν φιλοσοφείτωσαν οἷς ἐπιμελὲς, καὶ ἀνίτωσαν
indeed then let-them-philosophize to-whom(-it-is) (a)-concern and let-them-go-up
ἐπὶ πλεῖστον τῆς διασκέψεως. ἡμῖν δ' οὖν ἐκεῖνο γνώριμον
to (the)-farthest of-the inquiry to-us but then that (is)-known
τοῖς δεσμίοις τῆς γῆς, ὅ φησιν ὁ θεῖος Ἱερεμίας, καὶ τὸ
to-the prisoners of-the earth which says the divine Jeremiah and the
παχὺ τοῦτο σαρκίον περιβεβλημένοις, ὅτι ὥσπερ ἀδύνατον
thick this flesh clothed-with that as (it-is)-impossible
ὑπερβῆναι τὴν ἑαυτοῦ σκιάν, καὶ τῷ λίαν ἐπειγομένῳ,
to-outstrip the own shadow even for-the(-one) very hastening
— φθάνει γὰρ ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται, —
it-outruns for always as-much as it-is-overtaken
ἢ τοῖς ὁρατοῖς πλησιάσαι τὴν ὄψιν δίχα τοῦ ἐν μέσῳ
or to-the visible(-things) to-bring-near the sight without the in (the)-middle
φωτὸς καὶ ἀέρος, ἢ τῶν ὑδάτων ἔξω τὴν νηκτὴν φύσιν
light and air or of-the waters outside the swimming nature
διολισθαίνειν, οὕτως ἀμήχανον τοῖς ἐν σώμασι δίχα
to-glide so (it-is)-impossible for-those in bodies without
τῶν σωματικῶν πάντη γενέσθαι μετὰ τῶν νοουμένων.
the bodily(-things) wholly to-be with the(-things) thought

ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι
always for something will-intrude of-the our(-things) even-if as
μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς,
most having-separated itself from-the(-things) seen the mind
καὶ καθ' ἑαυτὸν γενόμενος, προσβάλλειν ἐπιχειρῇ τοῖς
and by itself having-become to-approach attempt the(-things)
συγγενέσι καὶ ἀοράτοις. γνώσῃ δὲ οὕτως.
akin and invisible you-will-know and thus
Οὐ πνεῦμα καὶ πῦρ καὶ φῶς, ἀγάπη τε καὶ σοφία 13
(are)-not spirit and fire and light love both and wisdom
καὶ δικαιοσύνη, καὶ νοῦς καὶ λόγος, καὶ τὰ τοιαῦτα, αἱ
and justice and mind and word and the such(-things) the
προσηγορίαι τῆς πρώτης φύσεως; τί οὖν; ἢ πνεῦμα
names of-the first nature what then either spirit
νοήσεις δίχα φορᾶς καὶ χύσεως; ἢ πῦρ ἔξω τῆς
will-you-conceive without motion and diffusion or fire apart-from the
ὕλης, καὶ τῆς ἄνω φορᾶς, καὶ τοῦ ἰδίου χρώματός τε
matter and the upward motion and the proper color both
καὶ σχήματος; ἢ φῶς οὐκ ἀέρι σύγκρατόν τε καὶ ἀφετὸν
and shape or light not with-air mixed both and released
τοῦ οἷον γεννῶντός τε καὶ φωτίζοντος; νοῦν δὲ
from-the(-thing) as-it-were begetting both and illumining mind and
τίνα; μὴ τὸν ἐν ἄλλῳ, καὶ οὗ κινήματα τὰ διανοήματα,
what not the(-one) in another and whose movements the thoughts
ἠρεμοῦντα ἢ προβαλλόμενα; λόγον δὲ τίνα παρὰ τὸν
resting or put-forth word and what besides the(-one)
ἡσυχάζοντα ἐν ἡμῖν, ἢ χεόμενον; ὀκνῶ γὰρ εἰπεῖν, λυόμενον.
quiet in us or poured-out I-shrink for to-say dissolved
εἰ δὲ καὶ σοφίαν, τίνα παρὰ τὴν ἕξιν, καὶ τὴν ἐν τοῖς
if and also wisdom what besides the habit and the(-one) in the
θεωρήμασιν, εἴτε θείοις, εἴτε καὶ ἀνθρωπίνοις; δικαιοσύνην
speculations whether divine or also human justice

τε καὶ ἀγάπην, οὐ διαθέσεις ἐπαινουμένας, καὶ
both and love (are-they)-not dispositions praised and
τὴν μὲν τῆς ἀδικίας, τὴν δὲ τοῦ μίσους ἀντίπαλον,
the(-one) indeed of-the injustice the(-other) and of-the hatred opponent
ἐπιτεινομένας τε καὶ ἀνιεμένας, προσγινομένας τε καὶ
intensified both and relaxed accruing both and
ἀπογινομένας, καὶ ὅλως ποιούσας ἡμᾶς καὶ ἀλλοιούσας,
departing and in-short making us and altering
ὥσπερ αἱ χρόαι τὰ σώματα; ἢ δεῖ τούτων ἀποστάντας
as the colors the bodies or must from-these having-stood-apart
ἡμᾶς αὐτὸ καθ' ἑαυτὸ τὸ θεῖον ἐκ τούτων ἰδεῖν, ὡς
us itself by itself the divine from these to-see as
οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων
possible — partial some image from the likenesses
συλλεγομένους; τίς οὖν ἡ μηχανὴ ἐκ τούτων τε καὶ μὴ
gathering what then the device from these both and not
ταῦτα; ἢ πῶς ταῦτα πάντα, καὶ τελείως ἕκαστον, τὸ ἓν
these or how these all and perfectly each the one
τῇ φύσει ἀσύνθετον καὶ ἀνείκαστον; οὕτω κάμνει ἐκβῆναι
in-the nature uncompounded and beyond-likeness thus toils to-get-beyond
τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς, καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς
the bodily(-things) the our mind and with-bare to-converse the
ἀσωμάτοις, ἕως σκοπεῖ μετὰ τῆς ἰδίας ἀσθενείας τὰ
bodiless(-things) while it-views with the own weakness the(-things)
ὑπὲρ δύναμιν. ἐπεὶ ἐφίεται μὲν πᾶσα λογικὴ φύσις θεοῦ
beyond power since desires indeed every rational nature God
καὶ τῆς πρώτης αἰτίας· καταλαβεῖν δὲ ἀδυνατεῖ, δι'
and the first cause to-grasp but is-unable because-of
ἃς εἶπον αἰτίας. κάμνουσα δὲ τῷ πόθῳ, καὶ οἷον
which I-said causes toiling and with-the longing and as-it-were
σφαδάζουσα, καὶ τὴν ζημίαν οὐ φέρουσα, δεύτερον ποιεῖται
struggling and the loss not bearing (a)-second makes

πλοῦν, ἢ πρὸς τὰ ὁρώμενα βλέψαι, καὶ τούτων
voyage either to the(-things) seen to-look and of-these
τι ποιῆσαι θεόν, κακῶς εἰδυῖα, — τί γὰρ τῶν ὁρατῶν
something to-make (a)-god ill knowing what for of-the visible(-things)
τοῦ ὁρῶντος καὶ πόσον ἐστὶν ὑψηλότερόν τε καὶ
than-the(-one) seeing and how-much is higher both and
θεοειδέστερον, ἵν' ᾖ τὸ μὲν προσκυνοῦν, τὸ δὲ
more-godlike that may-be the(-one) indeed worshiping the(-other) and
προσκυνούμενον; — ἢ διὰ τοῦ κάλλους τῶν ὁρωμένων
worshiped or through the beauty of-the(-things) seen
καὶ τῆς εὐταξίας θεὸν γνωρίσαι, καὶ ὁδηγῷ τῇ ὄψει
and the order God to-know and (as)-a-guide the sight
τῶν ὑπὲρ τὴν ὄψιν χρήσασθαι, ἀλλὰ μὴ ζημιωθῆναι
to-the(-things) beyond the sight to-use but not to-lose
θεὸν διὰ τῆς μεγαλοπρεπείας τῶν ὁρωμένων.
God through the magnificence of-the(-things) seen
Ἐντεῦθεν οἱ μὲν ἥλιον, οἱ δὲ σελήνην, οἱ δὲ ἀστέρων 14
hence some indeed (the)-sun others and (the)-moon others and of-stars
πλῆθος, οἱ δὲ οὐρανὸν αὐτὸν ἅμα τούτοις, οἷς καὶ
(the)-multitude others and heaven itself together with-these to-which also
τὸ πᾶν ἄγειν δεδώκασι κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς
the universe to-lead they-have-given according-to the quality or quantity of-the
κινήσεως· οἱ δὲ τὰ στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα, πῦρ,
motion others and the elements earth water air fire
διὰ τὸ χρειῶδες, ὧν ἄνευ οὐδὲ συστῆναι δυνατὸν τὸν
because-of the usefulness which without not-even to-subsist (is)-possible the
ἀνθρώπινον βίον· οἱ δὲ ὅ τι τύχοιεν ἕκαστος τῶν
human life others and what — they-chanced-on each of-the
ὁρατῶν ἐσεβάσθησαν, ὧν ἑώρων τὰ κάλλιστα θεοὺς
visible(-things) worshiped of-which they-saw the fairest (as)-gods
προστησάμενοι. εἰσὶ δὲ οἳ καὶ εἰκόνας καὶ πλάσματα,
having-set-up there-are and who also images and figures

πρῶτα μὲν τῶν οἰκείων, οἵ γε περιπαθέστεροι καὶ
first indeed of-the kin those at-least more-passionate and
σωματικώτεροι, καὶ τιμῶντες τοὺς ἀπελθόντας τοῖς
more-bodily and honoring the departed with-the
ὑπομνήμασιν· ἔπειτα καὶ τῶν ξένων, οἱ μετ' ἐκείνους
memorials then also of-the strangers those after them
καὶ μακρὰν ἀπ' ἐκείνων, ἀγνοίᾳ τῆς πρώτης φύσεως,
and far from them by-ignorance of-the first nature
καὶ ἀκολουθίᾳ τῆς παραδοθείσης τιμῆς, ὡς ἐννόμου καὶ
and by-following of-the handed-down honor as lawful and
ἀναγκαίας, ἐπειδὴ χρόνῳ τὸ ἔθος βεβαιωθὲν ἐνομίσθη
necessary since by-time the custom confirmed was-held
νόμος. οἶμαι δὲ καὶ δυναστείαν τινὲς θεραπεύοντες, καὶ
(a)-law I-think and also power some courting and
ῥώμην ἐπαινέσαντες, καὶ κάλλος θαυμάσαντες, θεὸν
strength having-praised and beauty having-admired (a)-god
ἐποίησαν τῷ χρόνῳ τὸν τιμώμενον, προσλαβόμενοί
made in-the time the(-one) honored having-added
τινα καὶ μῦθον τῆς ἐξαπάτης ἐπίκουρον.
some also myth of-the deceit (as)-ally
15 Οἱ ἐμπαθέστεροι δὲ αὐτῶν καὶ τὰ πάθη θεοὺς ἐνόμισαν,
the more-passionate and of-them even the passions gods held
ἢ θεοῖς ἐτίμησαν, θυμόν, καὶ μιαιφονίαν, καὶ ἀσέλγειαν,
or as-gods honored anger and bloodshed and lewdness
καὶ μέθην, καὶ οὐκ οἶδ' ὅ τι ἄλλο τῶν τούτοις
and drunkenness and not I-know what — else of-the(-things) to-these
παραπλησίων, οὐ καλὴν οὐδὲ δικαίαν ταύτην ἀπολογίαν
like not (a)-fair nor just this defense
εὑράμενοι τῶν οἰκείων ἁμαρτημάτων. καὶ τοὺς μὲν ἀφῆκαν
having-found for-the own sins and some indeed they-left
κάτω, τοὺς δὲ ὑπὸ γῆν ἔκρυψαν, — τοῦτο συνετῶς
below others and under earth they-hid this sensibly

μόνον, — τοὺς δὲ ἀνήγαγον εἰς τὸν οὐρανόν. ὦ τῆς
only others and they-took-up to the heaven O the
γελοίας κληροδοσίας. εἶτα ἑκάστῳ τῶν πλασμάτων ὄνομά
laughable allotment then to-each of-the fictions (a)-name
τι θεῶν ἢ δαιμόνων ἐπιφημίσαντες, κατὰ τὴν ἐξουσίαν
some of-gods or demons having-given according-to the license
καὶ αὐτονομίαν τῆς πλάνης, καὶ ἀγάλματα ἱδρυσάμενοι,
and autonomy of-the error and statues having-set-up
ὧν καὶ τὸ πολυτελὲς δέλεαρ, αἵμασί τε καὶ κνίσσαις,
whose also the costliness (is)-a-bait with-blood both and savors
ἔστι δὲ οἵ γε καὶ πράξεσι λίαν αἰσχραῖς, μανίαις τε
(there)-are and who at-least even with-deeds very shameful frenzies both
καὶ ἀνθρωποκτονίαις, τιμᾷν τοῦτο ἐνόμισαν. τοιαύτας γὰρ
and murders to-honor this thought such for
ἔπρεπεν εἶναι θεῶν τοιούτων καὶ τὰς τιμάς. ἤδη δὲ καὶ
it-befitted to-be of-gods such also the honors already and also
κνωδάλοις, καὶ τετραπόδοις, καὶ ἑρπετοῖς, καὶ τούτων τοῖς
to-beasts and quadrupeds and reptiles and of-these the
αἰσχίστοις τε καὶ γελοιοτάτοις, ἑαυτοὺς καθύβρισαν, καὶ
most-shameful both and most-ridiculous themselves they-outraged and
τούτοις φέροντες τὴν τοῦ θεοῦ δόξαν προσέθηκαν· ὡς μὴ
to-these carrying the — of-God glory they-assigned so-that not
ῥᾴδιον εἶναι κρῖναι, ποτέρου δεῖ καταφρονεῖν μᾶλλον
easy to-be to-judge which (one)-must to-despise rather
τῶν προσκυνούντων ἢ τῶν προσκυνουμένων. τάχα δὲ
the(-ones) worshiping or the(-ones) worshiped perhaps and
καὶ πολὺ πλέον τῶν λατρευόντων, ὅτι λογικῆς ὄντες
even much more the(-ones) serving because of-(a)-rational being
φύσεως, καὶ χάριν θεοῦ δεξάμενοι, τὸ χεῖρον ὡς ἄμεινον
nature and grace of-God having-received the worse as better
προεστήσαντο. καὶ τοῦτο τοῦ πονηροῦ τὸ σόφισμα, τῷ
they-preferred and this (was)-of-the evil-one the trick the

καλῷ καταχρησαμένου πρὸς τὸ κακόν, οἷα τὰ πολλὰ τῶν
good having-misused for the evil as the most of-the
ἐκείνου κακουργημάτων. παραλαβὼν γὰρ αὐτῶν τὸν πόθον
his villainies having-taken for their the longing
πλανώμενον κατὰ θεοῦ ζήτησιν, ἵν' εἰς ἑαυτὸν περισπάσῃ τὸ
wandering in of-God search that to himself he-might-divert the
κράτος, καὶ κλέψῃ τὴν ἔφεσιν, ὥσπερ τυφλὸν χειραγωγῶν
power and steal the desire as (a)-blind(-man) leading-by-the-hand
ὁδοῦ τινὸς ἐφιέμενον, ἄλλους ἀλλαχοῦ κατεκρήμνισε, καὶ
road some desiring some elsewhere he-hurled-down and
διέσπειρεν εἰς ἕν τι θανάτου καὶ ἀπωλείας βάραθρον.
scattered into one some of-death and destruction pit

V · WHAT THE SAINTS SAW

Reason leads from the things seen to their maker, but full knowledge of God is kept for the life to come, when we shall know as we are known. None of the saints grasped his nature: not Enos, Enoch, Noah, Abraham, or Jacob, nor Elijah, Manoah, Peter, Isaiah, or Ezekiel, and Paul knew only in part, as in a mirror.

16 Οὗτοι μὲν δὴ ταῦτα· ἡμᾶς δὲ ὁ λόγος δεξάμενος
these indeed truly these(-things) us but the reason having-received
ἐφιεμένους θεοῦ, καὶ μὴ ἀνεχομένους τὸ ἀνηγεμόνευτόν τε
desiring God and not enduring the leaderless both
καὶ ἀκυβέρνητον, εἶτα τοῖς ὁρωμένοις προσβάλλων καὶ
and unpiloted then to-the(-things) seen applying and
τοῖς ἀπαρχῆς ἐντυγχάνων, οὔτε μέχρι τούτων ἔστησεν,
the(-things) from-of-old meeting neither as-far-as these stopped
— οὐ γὰρ ἦν λόγου δοῦναι τὴν ἡγεμονίαν τοῖς
not for was(-it-the-part) of-reason to-give the leadership to-the(-things)
ὁμοτίμοις κατὰ τὴν αἴσθησιν, — καὶ διὰ τούτων ἄγει
equal-in-honor according-to the sense and through these leads

πρὸς τὸ ὑπὲρ ταῦτα, καὶ δι᾽ οὗ τούτοις τὸ εἶναι
to the(-thing) beyond these and through which to-these the being
περίεστιν. τί γὰρ τὸ τάξαν τὰ οὐράνια καὶ
comes what for the(-thing) having-ordered the heavenly(-things) and
τὰ ἐπίγεια, ὅσα τε δι᾽ ἀέρος καὶ ὅσα καθ᾽ ὕδατος,
the earthly(-things) which both through air and which through water
μᾶλλον δὲ τὰ πρὸ τούτων, οὐρανόν, καὶ γῆν, καὶ
rather and the(-things) before these heaven and earth and
ἀέρα, καὶ φύσιν ὕδατος; τίς ταῦτα ἔμιξε καὶ ἐμέρισεν;
air and (the)-nature of-water who these mixed and divided
τίς ἡ κοινωνία τούτων πρὸς ἄλληλα, καὶ συμφυία, καὶ
what the communion of-these with one-another and natural-union and
σύμπνοια; ἐπαινῶ γὰρ τὸν εἰρηκότα, κἂν ἀλλότριος ᾖ.
concord I-praise for the(-one) having-said(-it) even-if (an)-outsider he-be
τί τὸ ταῦτα κεκινηκὸς καὶ ἄγον τὴν ἄληκτον φορὰν
what the(-thing) these having-moved and leading the ceaseless motion
καὶ ἀκώλυτον; ἆρ᾽ οὐχ ὁ τεχνίτης τούτων, καὶ πᾶσι λόγον
and unbindered (is-it) not the artificer of-these and in-all reason
ἐνθείς, καθ᾽ ὃν τὸ πᾶν φέρεταί τε καὶ διεξάγεται;
having-placed according-to which the universe is-borne both and is-conducted
τίς δὲ ὁ τεχνίτης τούτων; ἆρ᾽ οὐχ ὁ πεποιηκὼς ταῦτα
who and the artificer of-these (is-it) not the(-one) having-made these
καὶ εἰς τὸ εἶναι παραγαγών; οὐ γὰρ δὴ τῷ αὐτομάτῳ
and into the being having-brought not for indeed to-the spontaneous
δοτέον τοσαύτην δύναμιν. ἔστω γὰρ τὸ γενέσθαι τοῦ
(one)-must-give so-great power let-it-be for the to-come-into-being of-the
αὐτομάτου. τίνος τὸ τάξαι; καὶ τοῦτο, εἰ δοκεῖ, δῶμεν.
spontaneous whose the to-order and this if it-seems(-good) let-us-grant
τίνος τὸ τηρῆσαι καὶ φυλάξαι καθ᾽ οὓς πρῶτον ὑπέστη
whose the to-keep and to-guard according-to which first it-came-to-be
λόγους; ἑτέρου τινός, ἢ τοῦ αὐτομάτου; ἑτέρου δηλαδὴ
principles of-another some or of-the spontaneous of-another clearly

παρὰ τὸ αὐτόματον. τοῦτο δὲ τί ποτε ἄλλο πλὴν θεός;
besides the spontaneous this and what ever else except God
οὕτως ὁ ἐκ θεοῦ λόγος, καὶ πᾶσι σύμφυτος, καὶ πρῶτος ἐν
thus the from God reason and to-all innate and (the)-first in
ἡμῖν νόμος, καὶ πᾶσι συνημμένος, ἐπὶ θεὸν ἡμᾶς ἀνήγαγεν
us law and to-all joined to God us led-up
ἐκ τῶν ὁρωμένων. καὶ δὴ λέγωμεν ἀρξάμενοι πάλιν.
from the(-things) seen and indeed let-us-say having-begun again
17 Θεόν, ὅ τί ποτε μέν ἐστι τὴν φύσιν καὶ τὴν οὐσίαν, οὔτε
God what — ever indeed is in-the nature and the substance neither
τις εὗρεν ἀνθρώπων πώποτε, οὔτε μὴ εὕρῃ. ἀλλ᾽ εἰ
anyone found of-men ever nor not will-find but whether
μὲν εὑρήσει ποτέ, ζητείσθω τοῦτο καὶ φιλοσοφείσθω παρὰ
indeed he-will-find ever let-be-sought this and let-be-philosophized by
τῶν βουλομένων. εὑρήσει δέ, ὡς ἐμὸς λόγος, ἐπειδὰν τὸ
those wishing he-will-find but as my account when the
θεοειδὲς τοῦτο καὶ θεῖον, λέγω δὲ τὸν ἡμέτερον νοῦν τε καὶ
godlike this and divine I-mean and the our mind both and
λόγον, τῷ οἰκείῳ προσμίξῃ, καὶ ἡ εἰκὼν ἀνέλθῃ πρὸς τὸ
reason with-the kindred mingles and the image goes-up to the
ἀρχέτυπον, οὗ νῦν ἔχει τὴν ἔφεσιν. καὶ τοῦτο εἶναί μοι
archetype of-which now it-has the desire and this to-be to-me
δοκεῖ τὸ πάνυ φιλοσοφούμενον, ἐπιγνώσεσθαί ποτε
seems the(-thing) very-much philosophized(-about) to-be-about-to-know someday
ἡμᾶς, ὅσον ἐγνώσμεθα. τὸ δὲ νῦν εἶναι βραχεῖά τις
us as-much-as we-are-known the but now being small some
ἀπορροὴ πᾶν τὸ εἰς ἡμᾶς φθάνον, καὶ οἷον μεγάλου
emanation all the(-thing) to us reaching and as-it-were of-(a)-great
φωτὸς μικρὸν ἀπαύγασμα. ὥστε καὶ εἴ τις ἔγνω θεόν, ἢ
light (a)-small radiance so-that even if anyone knew God or
ἐγνωκέναι μεμαρτύρηται, τοσοῦτον ἔγνω, ὅσον ἄλλου
to-have-known has-been-attested so-much he-knew as-much-as (than)-another

μὴ τὸ ἴσον ἐλλαμφθέντος φανῆναι φωτοειδέστερος. καὶ
not the same illumined to-appear more-luminous and
τὸ ὑπερβάλλον τέλειον ἐνομίσθη, οὐ τῇ ἀληθείᾳ,
the(-thing) surpassing perfect was-thought not by-the truth
τῇ δὲ τοῦ πλησίον δυνάμει παραμετρούμενον.
by-the but of-the neighbor capacity measured
Διὰ τοῦτο Ἐνὼς μὲν ἤλπισεν ἐπικαλεῖσθαι τὸν κύριον· 18
because-of this Enos indeed hoped to-call-upon the lord
ἐλπὶς τὸ κατορθούμενον ἦν, καὶ τοῦτο οὐ γνώσεως,
hope the(-thing) achieved was and this not of-knowledge
ἀλλ᾽ ἐπικλήσεως. Ἐνὼχ δὲ μετετέθη μέν, οὔπω δὲ
but of-invocation Enoch and was-translated indeed not-yet but
δῆλον, εἰ θεοῦ φύσιν περιλαβών, ἢ περιληψόμενος.
(it-is)-clear whether of-God (the)-nature having-grasped or about-to-grasp
τοῦ δὲ Νῶε καλὸν ἡ εὐαρέστησις, τοῦ καὶ κόσμον
— and of-Noah fair the pleasing of-the(-one) even (a)-world
ὅλον ἐξ ὑδάτων διασώσασθαι πιστευθέντος, ἢ κόσμου
whole from waters to-save entrusted or of-(a)-world
σπέρματα, ξύλῳ μικρῷ φεύγοντι τὴν ἐπίκλυσιν. Ἀβραὰμ
seeds in-(a)-wood small escaping the flood Abraham
δὲ ἐδικαιώθη μὲν ἐκ πίστεως, ὁ μέγας πατριάρχης, καὶ
and was-justified indeed by faith the great patriarch and
θύει θυσίαν ξένην καὶ τῆς μεγάλης ἀντίτυπον· θεὸν δὲ
sacrifices (a)-sacrifice strange and of-the great(-one) (a)-type God but
οὐχ ὡς θεὸν εἶδεν, ἀλλ᾽ ὡς ἄνθρωπον ἔθρεψε, καὶ ἐπῃνέθη,
not as God he-saw but as (a)-man he-fed and was-praised
σεβασθεὶς ὅσον κατέλαβεν. Ἰακὼβ δὲ κλίμακα μὲν
having-worshiped as-much-as he-grasped Jacob and ladder indeed
ὑψηλὴν ἐφαντάσθη τινά, καὶ ἀγγέλων ἄνοδον, καὶ στήλην
high saw-in-vision some and of-angels ascent and (a)-pillar
ἀλείφει μυστικῶς, ἴσως ἵνα τὸν ὑπὲρ ἡμῶν ἀλειφθέντα
anoints mystically perhaps that the for us anointed

λίθον παραδηλώσῃ, καὶ Εἶδος Θεοῦ τόπῳ τινὶ προσηγορίαν
stone he-might-signify and Form of-God to-place some (the)-name
δίδωσιν εἰς τιμὴν τοῦ ὀφθέντος, καὶ ὡς ἀνθρώπῳ τῷ
gives to (the)-honor of-the(-one) seen and as with-(a)-man —
θεῷ προσπαλαίει, ἅτις ποτέ ἐστιν ἡ πάλη θεοῦ πρὸς
with-God wrestles what ever is the wrestling of-God with
ἄνθρωπον, ἢ τάχα τῆς ἀνθρωπίνης ἀρετῆς πρὸς θεὸν
man or perhaps of-the human virtue with God
ἀντεξέτασις, καὶ σύμβολα τῆς πάλης ἐπὶ τοῦ σώματος
comparison and tokens of-the wrestling on the body
φέρει, τὴν ἥτταν παραδεικνύντα τῆς γενητῆς φύσεως,
bears the defeat showing of-the created nature
καὶ ἆθλον εὐσεβείας τὴν μεταβολὴν τῆς προσηγορίας
and (as)-a-prize of-piety the change of-the name
λαμβάνει, μετονομασθεὶς ἀντὶ Ἰακὼβ Ἰσραήλ, τοῦτο δὴ
receives renamed instead-of Jacob Israel this indeed
τὸ μέγα καὶ τίμιον ὄνομα· ἐκεῖνο δὲ οὔτε αὐτὸς οὔτε τις
the great and precious name that but neither he nor anyone
ὑπὲρ αὐτὸν μέχρι σήμερον ἐκαυχήσατο τῶν δώδεκα φυλῶν,
beyond him until today boasted of-the twelve tribes
ὧν πατὴρ ἦν, ὅτι θεοῦ φύσιν ἢ ὄψιν ὅλην ἐχώρησεν.
of-which father he-was that of-God (the)-nature or sight whole he-contained
19 Ἠλίᾳ δὲ οὔτε πνεῦμα βίαιον, οὔτε πῦρ, οὔτε συσσεισμός,
to-Elijah and neither wind violent nor fire nor earthquake
ὡς τῆς ἱστορίας ἀκούεις, ἀλλ᾽ ἡ αὔρα τις ὀλίγη τὴν τοῦ
as of-the history you-bear but the breeze some slight the —
θεοῦ παρουσίαν, καὶ ταῦτα οὐ φύσιν, ἐσκιαγράφησεν·
of-God presence and this not (the)-nature sketched
Ἠλίᾳ τίνι; ὃν καὶ ἅρμα πυρὸς ἀνάγει πρὸς οὐρανόν,
to-Elijah to-whom whom even (a)-chariot of-fire brings-up to heaven
δηλοῦν τοῦ δικαίου τὸ ὑπὲρ ἄνθρωπον. Μανωὲ δὲ
showing of-the righteous(-man) the(-thing) beyond man Manoah and

τὸν κριτὴν πρότερον, καὶ Πέτρον τὸν μαθητὴν ὕστερον,
the judge earlier and Peter the disciple later
πῶς οὐ τεθαύμακας; τὸν μὲν οὐδὲ ὄψιν φέροντα
how not have-you-admired the(-one) indeed not-even (the)-sight bearing
τοῦ φαντασθέντος θεοῦ, καὶ διὰ τοῦτο, Ἀπολώλαμεν,
of-the appearing God and because-of this we-are-lost
ὦ γύναι, λέγοντα, θεὸν ἑωράκαμεν· ὡς οὐ χωρητῆς οὔσης
O woman saying God we-have-seen as not containable being
ἀνθρώποις οὐδὲ φαντασίας θείας, μὴ ὅτι γε φύσεως·
for-men not-even (an)-appearance divine not to-say at-least (the)-nature
τὸν δὲ καὶ τὸν φαινόμενον χριστὸν τῷ πλοίῳ μὴ
the(-other) and also the appearing Christ in-the boat not
προσιέμενον, καὶ διὰ τοῦτο ἀποπεμπόμενον. καίτοιγε
admitting and because-of this sending-away although
θερμότερος τῶν ἄλλων εἰς ἐπίγνωσιν Χριστοῦ Πέτρος,
more-fervent than-the others toward knowledge of-Christ Peter
καὶ διὰ τοῦτο μακαριζόμενος, καὶ τὰ μέγιστα
and because-of this called-blessed and the(-things) greatest
πιστευόμενος. τί δ' ἂν εἴποις περὶ Ἡσαίου, καὶ Ἰεζεχιὴλ
entrusted-with what and — would-you-say about Isaiah and Ezekiel
τοῦ τῶν μεγίστων ἐπόπτου, καὶ τῶν λοιπῶν προφητῶν;
the of-the greatest(-things) beholder and of-the other prophets
ὧν ὁ μὲν τὸν Κύριον Σαβαὼθ εἶδε καθήμενον ἐπὶ
of-whom the(-one) indeed the Lord Sabaoth saw sitting on
θρόνου δόξης, καὶ τοῦτον ὑπὸ τῶν ἑξαπτερύγων σεραφὶμ
(a)-throne of-glory and him by the six-winged seraphim
κυκλούμενον καὶ αἰνούμενον καὶ ἀποκρυπτόμενον, ἑαυτόν
encircled and praised and hidden himself
τε τῷ ἄνθρακι καθαιρόμενον, καὶ πρὸς τὴν προφητείαν
both by-the coal cleansed and for the prophecy
καταρτιζόμενον· ὁ δὲ καὶ τὸ ὄχημα τοῦ θεοῦ τὰ
equipped the(-other) and also the chariot — of-God the

χερουβὶμ διαγράφει, καὶ τὸν ὑπὲρ αὐτῶν θρόνον, καὶ
cherubim describes and the above them throne and
τὸ ὑπὲρ αὐτοῦ στερέωμα, καὶ τὸν ἐν τῷ στερεώματι
the above it firmament and the(-one) in the firmament
φανταζόμενον, καὶ φωνὰς δή τινας, καὶ ὁρμάς, καὶ
appearing and voices indeed certain and movements and
πράξεις, καὶ ταῦτα εἴτε φαντασία τις ἦν ἡμερινή, μόνοις
acts and these whether appearance some was by-day only
θεωρητὴ τοῖς ἁγίοις, εἴτε νυκτὸς ἀψευδὴς ὄψις, εἴτε τοῦ
visible to-the saints or of-night (a)-true vision or of-the
ἡγεμονικοῦ τύπωσις συγγινομένη τοῖς μέλλουσιν
ruling-part (an)-impression consorting with-the(-things) future
ὡς παροῦσιν, εἴτε τι ἄλλο προφητείας εἶδος ἀπόρρητον,
as present or some other of-prophecy form ineffable
οὐκ ἔχω λέγειν· ἀλλ᾽ οἶδεν ὁ τῶν προφητῶν θεός, καὶ
not I-am-able to-say but knows the of-the prophets God and
οἱ τὰ τοιαῦτα ἐνεργούμενοι. πλὴν οὔτε οὗτοι περὶ
those the(-things) such inspired-with however neither these about
ὧν ὁ λόγος, οὔτε τις ἄλλος τῶν κατ᾽ αὐτούς,
whom the account nor anyone other of-the(-ones) like them
ἔστη ἐν ὑποστήματι καὶ οὐσίᾳ κυρίου, κατὰ τὸ
stood in (the)-subsistence and substance of-(the)-lord according-to the(-thing)
γεγραμμένον, οὐδὲ θεοῦ φύσιν ἢ εἶδεν ἢ ἐξηγόρευσεν.
written nor of-God (the)-nature either saw or declared
20 Παύλῳ δὲ εἰ μὲν ἔκφορα ἦν ἃ παρέσχεν
to-Paul and if indeed utterable were (the-things)-which granted
ὁ τρίτος οὐρανός, καὶ ἡ μέχρις ἐκείνου πρόοδος ἢ
the third heaven and the as-far-as it progress or
ἀνάβασις ἢ ἀνάληψις, τάχα ἄν τι περὶ θεοῦ πλέον
ascent or assumption perhaps — something about God more
ἔγνωμεν, εἴπερ τοῦτο ἦν τὸ τῆς ἁρπαγῆς μυστήριον.
we-would-have-known if-indeed this was the of-the rapture mystery

ἐπεὶ δὲ ἄρρητα ἦν, καὶ ἡμῖν σιωπῇ τιμάσθω. τοσοῦτον
since but unspeakable were also by-us by-silence let-them-be-honored so-much
δὲ ἀκούσωμεν αὐτοῦ Παύλου λέγοντος, ὅτι ἐκ μέρους
but let-us-hear himself Paul saying that in part
γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν. ταῦτα καὶ τὰ
we-know and in part we-prophesy these(-things) and the
τοιαῦτα ὁμολογεῖ ὁ μὴ ἰδιώτης τὴν γνῶσιν, ὁ
such confesses the(-one) not unskilled in-the knowledge the(-one)
δοκιμὴν ἀπειλῶν τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ, ὁ
proof threatening of-the in him speaking Christ the
μέγας τῆς ἀληθείας προαγωνιστὴς καὶ διδάσκαλος· καὶ
great of-the truth champion and teacher and
πᾶσαν τὴν κάτω γνῶσιν οὐδὲν ὑπὲρ τὰ ἔσοπτρα καὶ τὰ
all the below knowledge nothing beyond the mirrors and the
αἰνίγματα τίθεται, ὡς ἐν μικροῖς τῆς ἀληθείας ἱσταμένην
riddles accounts as on small of-the truth standing
ἰνδάλμασιν. εἰ δὲ μὴ λίαν δοκῶ τισὶ περιττὸς καὶ
images if and not very I-seem to-some excessive and
περίεργος τὰ τοιαῦτα ἐξετάζων, οὐδὲ ἄλλα τινὰ τυχὸν ἢ
overcurious the such(-things) examining not-even other any perhaps than
ταῦτα ἦν, ἃ μὴ δύναται νῦν βασταχθῆναι, ἅπερ
these were (the-things)-which not can now be-borne which
ὁ Λόγος αὐτὸς ὑπῃνίσσετο, ὥς ποτε βασταχθησόμενα καὶ
the Word himself hinted as someday to-be-borne and
τρανωθησόμενα· καὶ ἃ μηδ' ἂν αὐτὸν δυνηθῆναι
to-be-made-clear and (the-things)-which not-even — itself to-be-able
χωρῆσαι τὸν κάτω κόσμον Ἰωάννης ὁ τοῦ Λόγου
to-contain the below world John the of-the Word
πρόδρομος, ἡ μεγάλη τῆς ἀληθείας φωνή, διωρίζετο.
forerunner the great of-the truth voice declared

Every truth is hard to trace, and the account of God hardest: Solomon grows dizzy the deeper he goes, and Paul and David confess the depth of God's judgments. Gregory asks how we are formed and grow, how soul is joined to body, how mind and speech work, and then turns to the animals: beasts, fish, and birds, the cicada, swan, and peacock, nests, the bee's comb, and the spider's web.

21 Πᾶσα μὲν οὖν ἀλήθεια καὶ πᾶς λόγος δυστέκμαρτός τε
all indeed then truth and every account hard-to-trace both
καὶ δυσθεώρητος· καὶ οἷον ὀργάνῳ μικρῷ μεγάλα
and hard-to-see and as-it-were with-(an)-instrument small great(-things)
δημιουργοῦμεν, τῇ ἀνθρωπίνῃ σοφίᾳ τὴν τῶν ὄντων
we-fashion by-the human wisdom the of-the beings
γνῶσιν θηρεύοντες, καὶ τοῖς νοητοῖς προσβάλλοντες
knowledge hunting and the(-things) intelligible approaching
μετὰ τῶν αἰσθήσεων, ἢ οὐκ ἄνευ αἰσθήσεων, ὑφ' ὧν
with the senses or not without senses by which
περιφερόμεθα καὶ πλανώμεθα, καὶ οὐκ ἔχομεν γυμνῷ
we-are-carried-about and wander and not we-are-able with-bare
τῷ νοὶ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες μᾶλλόν
the mind bare the things meeting rather
τι προσιέναι τῇ ἀληθείᾳ, καὶ τὸν νοῦν τυποῦσθαι ταῖς
somewhat to-approach the truth and the mind to-be-formed by-the
καταλήψεσιν. ὁ δὲ περὶ θεοῦ λόγος, ὅσῳ τελεώτερος,
apprehensions the but about God account by-as-much-as more-perfect
τοσούτῳ δυσεφικτότερος, καὶ πλείους τὰς ἀντιλήψεις ἔχων
by-so-much harder-to-reach and more the objections having
καὶ τὰς λύσεις ἐργωδεστέρας. πᾶν γὰρ τὸ ἐνιστάμενον,
and the solutions more-laborious all for the(-thing) obstructing
κἂν βραχύτατον ᾖ, τὸν τοῦ λόγου δρόμον ἐπέσχε καὶ
even-if very-small it-be the of-the argument course checks and

διεκώλυσε, καὶ τὴν εἰς τὸ πρόσω φορὰν διέκοψεν· ὥσπερ
hinders and the to the forward motion cuts-off like
οἱ τοὺς ἵππους τοῖς ῥυτῆρσιν ἀθρόως μεθέλκοντες
those the horses with-the reins suddenly pulling-back
φερομένους, καὶ τῷ ἀδοκήτῳ τοῦ τιναγμοῦ περιτρέποντες.
running and by-the unexpectedness of-the jerk overturning
οὕτω Σολομὼν μέν, ὁ σοφισάμενος περισσὰ ὑπὲρ
thus Solomon indeed the(-one) having-grown-wise abundantly beyond
πάντας τοὺς γενομένους ἔμπροσθεν καὶ καθ' ἑαυτόν, ᾧ
all those having-been before and in his-time to-whom
τὸ τῆς καρδίας πλάτος δῶρον θεοῦ, καὶ ἡ ψάμμου
the of-the heart breadth (was)-a-gift of-God and the than-sand
δαψιλεστέρα χύσις τῆς θεωρίας, ὅσῳ πλέον ἐμβατεύει
more-abundant outpouring of-the contemplation by-as-much-as more he-enters
τοῖς βάθεσι, τοσούτῳ πλέον ἰλιγγιᾷ, καὶ τέλος τι
into-the depths by-so-much more grows-dizzy and end a-kind-of
ποιεῖται σοφίας εὑρεῖν ὅσον διέφυγεν. Παῦλος δὲ πειρᾶται
makes of-wisdom to-find how-much escaped(-him) Paul and tries
μὲν ἐφικέσθαι, οὔπω λέγω τῆς τοῦ θεοῦ φύσεως, τοῦτο γὰρ
indeed to-attain not-yet I-say the — of-God nature this for
ᾔδει παντελῶς ἀδύνατον ὄν, ἀλλὰ μόνον τῶν τοῦ θεοῦ
he-knew wholly impossible being but only the — of-God
κριμάτων· ἐπεὶ δὲ οὐχ εὑρίσκει διέξοδον οὐδὲ στάσιν
judgments since but not he-finds (a)-way-through nor (a)-resting-place
τῆς ἀναβάσεως, οὐδὲ εἴς τι φανερὸν τελευτᾷ πέρας ἡ
of-the ascent nor in any clear ends limit the
πολυπραγμοσύνη τῆς διανοίας, ἀεί τινος ὑποφαινομένου
inquisitiveness of-the mind always something appearing
τοῦ λείποντος· ὦ τοῦ θαύματος (ἵνα καὶ αὐτὸς πάθω τὸ
the remaining O the wonder that also myself I-may-feel the
ἴσον)· ἐκπλήξει περιγράφει τὸν λόγον, καὶ πλοῦτον θεοῦ
same in-amazement he-ends the discourse and (the)-riches of-God

καὶ βάθος τὸ τοιοῦτο καλεῖ, καὶ ὁμολογεῖ τῶν τοῦ θεοῦ
and depth the(-thing) such calls and confesses of-the — of-God
κριμάτων τὸ ἀκατάληπτον, μονονουχὶ τὰ αὐτὰ τῷ Δαβὶδ
judgments the incomprehensibility all-but the same(-things) — as-David
φθεγγόμενος, ποτὲ μὲν ἄβυσσον πολλὴν ὀνομάζοντι τὰ τοῦ
uttering at-times indeed (an)-abyss great naming the —
θεοῦ κρίματα, ἧς οὐκ ἔστι τὴν ἕδραν ἢ μέτρῳ ἢ
of-God judgments whose not it-is-possible the bottom either by-measure or
αἰσθήσει λαβεῖν, ποτὲ δὲ τεθαυμαστῶσθαι τὴν γνῶσιν ἐξ
by-sense to-take at-times and to-have-been-made-wonderful the knowledge from
ἑαυτοῦ καὶ τῆς ἑαυτοῦ συστάσεως λέγοντι, κεκραταιῶσθαί
himself and the his-own constitution saying to-have-been-made-strong
τε πλέον ἢ κατὰ τὴν ἑαυτοῦ δύναμιν καὶ περίδραξιν.
and more than according-to the his-own power and grasp
22 Ἵνα γὰρ τἆλλα ἐάσας, φησί, πρὸς ἐμαυτὸν βλέψω, καὶ
that for the-rest having-let-be he-says to myself I-may-look and
πᾶσαν τὴν ἀνθρωπίνην φύσιν καὶ σύμπηξιν, τίς ἡ μίξις
all the human nature and structure what the mixture
ἡμῶν; τίς ἡ κίνησις; πῶς τὸ ἀθάνατον τῷ θνητῷ
our what the motion how the immortal with-the mortal
συνεκράθη; πῶς κάτω ῥέω, καὶ ἄνω φέρομαι; πῶς ψυχὴ
was-blended how downward I-flow and upward am-borne how (the)-soul
περιγράφεται; πῶς ζωὴν δίδωσι, καὶ πάθους μεταλαμβάνει;
is-circumscribed how life it-gives and of-passion partakes
πῶς ὁ νοῦς καὶ περιγραπτὸς καὶ ἀόριστος, ἐν ἡμῖν μένων,
how the mind both circumscribed and unbounded in us remaining
καὶ πάντα ἐφοδεύων τάχει φορᾶς καὶ ῥεύσεως; πῶς
and all(-things) traversing with-speed of-motion and flow how
μεταλαμβάνεται λόγῳ καὶ μεταδίδοται, καὶ δι' ἀέρος
it-is-received by-speech and imparted and through air
χωρεῖ, καὶ μετὰ τῶν πραγμάτων εἰσέρχεται; πῶς αἰσθήσει
passes and with the things enters how with-sense

κοινωνεῖ, καὶ συστέλλεται ἀπὸ τῶν αἰσθήσεων; καὶ ἔτι πρὸ
it-shares and withdraws from the senses and still before
τούτων, τίς ἡ πρώτη πλάσις ἡμῶν καὶ σύστασις ἐν τῷ
these what the first fashioning our and formation in the
τῆς φύσεως ἐργαστηρίῳ; καὶ τίς ἡ τελευταία μόρφωσις
of-the nature workshop and what the last shaping
καὶ τελείωσις; τίς ἡ τῆς τροφῆς ἔφεσις καὶ διάδοσις; καὶ
and completion what the for-the nourishment desire and distribution and
τίς ἤγαγεν ἐπὶ τὰς πρώτας πηγὰς καὶ τοῦ ζῆν ἀφορμὰς
who led to the first springs and of-the to-live beginnings
αὐτομάτως; πῶς σιτίοις μὲν σῶμα, λόγῳ δὲ ψυχὴ
spontaneously how by-foods indeed (the)-body by-reason and (the)-soul
τρέφεται; τίς ἡ τῆς φύσεως ὁλκὴ καὶ πρὸς ἄλληλα
is-nourished what the of-the nature attraction and toward one-another
σχέσις τοῖς γεννῶσι καὶ τοῖς γεννωμένοις, ἵνα τῷ
relation in-the(-ones) begetting and the(-ones) begotten that by-the
φίλτρῳ συνέχηται; πῶς ἑστηκότα τε τὰ εἴδη καὶ τοῖς
love-charm they-may-be-held-together how fixed both the kinds and by-the
χαρακτῆρσι διεστηκότα, ὧν τοσούτων ὄντων αἱ ἰδιότητες
features distinct of-which so-many being the peculiarities
ἀνέφικτοι; πῶς τὸ αὐτὸ ζῶον θνητὸν καὶ ἀθάνατον,
(are)-unattainable how the same creature mortal and immortal
τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει;
the(-one) indeed by-the departure the(-other) and by-the begetting
τὸ μὲν γὰρ ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ
the(-one) indeed for went-out the(-other) and came-in-instead as
ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος. πολλὰ
in (the)-current of-(a)-river not standing and remaining many(-things)
δ' ἂν ἔτι φιλοσοφήσαις περὶ μελῶν καὶ μερῶν, καὶ τῆς
and — still you-might-philosophize about limbs and parts and the
πρὸς ἄλληλα τούτων εὐαρμοστίας, πρὸς χρείαν τε ὁμοῦ
toward one-another of-these harmony for use both together

καὶ κάλλος συνεστώτων τε καὶ διεστώτων, προεχόντων
and beauty joined both and separated projecting
τε καὶ προεχομένων, ἑνουμένων τε καὶ σχιζομένων,
both and projected-beyond united both and split
περιεχόντων τε καὶ περιεχομένων, νόμῳ καὶ λόγῳ
containing both and contained by-(the)-law and reason
φύσεως. πολλὰ περὶ φωνῶν καὶ ἀκοῶν· πῶς αἱ
of-nature many(-things) about voices and hearings how the(-ones)
μὲν φέρονται διὰ τῶν φωνητικῶν ὀργάνων, αἱ δὲ
indeed are-borne through the vocal organs the(-others) and
ὑποδέχονται, διὰ τῆς ἐν μέσῳ τοῦ ἀέρος πληγῆς καὶ
receive through the in (the)-middle of-the air stroke and
τυπώσεως ἀλλήλαις ἐπιμιγνύμεναι. πολλὰ περὶ ὄψεως
impression with-one-another mingling many(-things) about sight
ἀρρήτως κοινωνούσης τοῖς ὁρατοῖς, καὶ μόνῳ τῷ
ineffably communing with-the(-things) visible and by-alone the
βούλεσθαι καὶ ὁμοῦ κινουμένης, καὶ ταὐτὸν τῷ νοὶ
to-will also together moved and the-same as-the mind
πασχούσης· μετὰ γὰρ τοῦ ἴσου τάχους ἐκεῖνός τε μίγνυται
experiencing with for the equal speed it both mingles
τοῖς νοουμένοις καὶ αὕτη τοῖς ὁρωμένοις.
with-the(-things) thought and this with-the(-things) seen
πολλὰ περὶ τῶν ἄλλων αἰσθήσεων, αἷ παραδοχαί τινές
many(-things) about the other senses which receivers some
εἰσι τῶν ἔξωθεν, λόγῳ μὴ θεωρούμεναι. πολλὰ
are of-the(-things) outside by-reason not observed many(-things)
περὶ τῆς ἐν ὕπνοις ἀναπαύσεως, καὶ τῆς δι᾽ ὀνειράτων
about the in sleep rest and the through dreams
ἀναπλάσεως, μνήμης τε καὶ ἀναμνήσεως, λογισμοῦ τε καὶ
imagining memory both and recollection reasoning both and

θυμοῦ καὶ ἐφέσεως, καὶ συντόμως εἰπεῖν, ὅσοις
anger and desire and briefly to-say by-as-many(-things)-as
ὁ μικρὸς οὗτος κόσμος διοικεῖται, ὁ ἄνθρωπος.
the little this world is-governed the man
Βούλει σοι καὶ τὰς τῶν ἄλλων ζώων διαφορὰς πρός 23
do-you-wish to-you also the of-the other creatures differences toward
τε ἡμᾶς καὶ πρὸς ἄλληλα, φύσεις τε καὶ γενέσεις καὶ
both us and toward one-another natures both and births and
ἀνατροφάς, καὶ χώρας, καὶ ἤθη, καὶ οἷον πολιτείας
rearings and places and habits and as-it-were polities
καταριθμήσωμαι; πῶς τὰ μὲν ἀγελαῖα, τὰ δὲ μοναδικά;
I-should-enumerate how some indeed gregarious others and solitary
τὰ μὲν ποηφάγα, τὰ δὲ σαρκοβόρα; τὰ μὲν θυμοειδῆ,
some indeed grass-eating others and flesh-eating some indeed spirited
τὰ δὲ ἥμερα; τὰ μὲν φιλάνθρωπα καὶ σύντροφα, τὰ δὲ
others and tame some indeed man-loving and domestic others and
ἀτίθασσα καὶ ἐλεύθερα; καὶ τὰ μὲν οἷον ἐγγύτερα λόγου
untamable and free and some indeed as-it-were nearer to-reason
τε καὶ μαθήσεως, τὰ δὲ παντελῶς ἄλογα καὶ ἀμαθέστατα;
both and learning others and wholly irrational and most-unteachable
τὰ μὲν πλειόνων αἰσθήσεων, τὰ δὲ ἐλαττόνων; τὰ μὲν
some indeed of-more senses others and of-fewer some indeed
ἀκίνητα, τὰ δὲ μεταβατικά; τὰ μὲν ταχύτατα, τὰ δὲ
motionless others and moving some indeed swiftest others and
παχύτατα; τὰ μὲν ὑπερβάλλοντα μεγέθει καὶ κάλλει ἢ
heaviest some indeed surpassing in-size and beauty or
τῷ ἑτέρῳ τούτων, τὰ δὲ βραχύτατα ἢ δυσειδέστατα ἢ
in-the one of-these others and smallest or ugliest or
καὶ ἀμφότερα; τὰ μὲν ἄλκιμα, τὰ δὲ ἀσθενῆ; τὰ μὲν
even both some indeed strong others and weak some indeed
ἀμυντικά, τὰ δὲ ὕποπτα καὶ ἐπίβουλα; τὰ μὲν φυλακτά,
defensive others and suspicious and treacherous some indeed watchful

τὰ δὲ ἀφύλακτα; τὰ μὲν φίλεργα καὶ οἰκονομικά, τὰ
others and unwatchful some indeed industrious and thrifty others
δὲ παντάπασιν ἀργὰ καὶ ἀπρονόητα; καὶ ἔτι πρὸ τούτων,
and altogether idle and improvident and still before these
πῶς τὰ μὲν ἑρπυστικά, τὰ δὲ ὄρθια; τὰ μὲν φιλόχωρα,
how some indeed creeping others and upright some indeed home-loving
τὰ δὲ ἀμφίβια; τὰ μὲν φιλόκαλα, τὰ δὲ ἀκαλλώπιστα;
others and amphibious some indeed beauty-loving others and unadorned
συζυγῆ τε καὶ ἀζυγῆ; σώφρονά τε καὶ ἀκόλαστα;
paired both and unpaired chaste both and licentious
πολύγονά τε καὶ οὐ πολύγονα; μακρόβιά τε καὶ ὀλιγόβια;
prolific both and not prolific long-lived both and short-lived
κάμνοι ἂν ἡμῖν ὁ λόγος τοῖς κατὰ μέρος ἐπεξιών.
would-tire — for-us the speech the(-things) in detail going-through

24 Σκέψαι μοι καὶ νηκτὴν φύσιν τῶν ὑδάτων
consider I-pray also (the)-swimming nature through-the waters
διολισθαίνουσαν, καὶ οἷον ἱπταμένην κατὰ τῆς ὑγρᾶς
gliding and as-it-were flying through the liquid
φύσεως, καὶ τοῦ μὲν ἰδίου σπῶσαν ἀέρος, τῷ ἡμετέρῳ
nature and the indeed own drawing air in-the our
δὲ κινδυνεύουσαν, ὥσπερ καὶ ἡμεῖς ἐν τοῖς ὕδασιν· ἤθη
but being-in-danger as also we in the waters habits
τε καὶ πάθη, καὶ μίξεις καὶ γονάς, καὶ μεγέθη καὶ κάλλη,
both and passions and matings and births and sizes and beauties
φιλοχωρίας τε καὶ πλάνας, συνόδους τε καὶ ἀποχωρήσεις,
attachments-to-place both and wanderings gatherings both and separations
καὶ ἰδιότητας μικροῦ τοῖς ἐπιγείοις παραπλησίας, ἔστι
and peculiarities almost to-the(-ones) on-land like there-are
δὲ ὧν καὶ κοινωνίας καὶ ἰδιότητας ἀντιθέτους, ἔν τε
and of-which also commonalities and peculiarities opposed in both
εἴδεσι καὶ ὀνόμασιν. σκέψαι μοι καὶ ὀρνέων ἀγέλας, καὶ
forms and names consider I-pray also of-birds flocks and

ποικιλίας ἔν τε σχήμασι καὶ χρώμασι, τῶν τε ἄλλων
varieties in both shapes and colors of-the both other(-ones)
καὶ τῶν ᾠδικῶν· καὶ τίς τῆς τούτων μελῳδίας ὁ λόγος,
and of-the songbirds and what of-the their melody the reason
καὶ παρὰ τίνος; τίς ὁ δοὺς τέττιγι τὴν ἐπὶ
and from whom who the(-one) having-given to-(the)-cicada the on
στήθους μαγάδα, καὶ τὰ ἐπὶ τῶν κλάδων ᾄσματά τε
(the)-breast lyre and the on the branches songs both
καὶ τερετίσματα, ὅταν ἡλίῳ κινῶνται τὰ μεσημβρινὰ
and chirpings when by-(the)-sun they-are-moved the midday(-songs)
μουσουργοῦντες, καὶ καταφωνῶσι τὰ ἄλση, καὶ ὁδοιπόρον
making-music and fill-with-sound the groves and (the)-traveler
ταῖς φωναῖς παραπέμπωσι; τίς ὁ κύκνῳ συνυφαίνων
with-the voices escort who the(-one) for-(the)-swan weaving
τὴν ᾠδήν, ὅταν ἐκπετάσῃ τὸ πτερὸν ταῖς αὔραις, καὶ ποιῇ
the song when it-spreads the wing to-the breezes and makes
μέλος τὸ σύριγμα; ἐῶ γὰρ λέγειν τὰς βιαίους φωνάς, καὶ
melody the whistling I-omit for to-speak-of the forced voices and
ὅσα τέχναι σοφίζονται κατὰ τῆς ἀληθείας. πόθεν ταῶς, ὁ
what arts contrive against the truth whence (the)-peacock the
ἀλαζὼν ὄρνις καὶ Μηδικός, οὕτω φιλόκαλος καὶ φιλότιμος,
boastful bird and Median so beauty-loving and vain
ὥστε (καὶ γὰρ αἰσθάνεται τοῦ οἰκείου κάλλους), ὅταν ἴδῃ
that even for it-perceives the own beauty when it-sees
τινὰ πλησιάζοντα, ἢ ταῖς θηλείαις, ὥς φασι, καλλωπίζηται,
someone approaching or for-the females as they-say it-preens
τὸν αὐχένα διάρας, καὶ τὸ πτερὸν κυκλοτερῶς περιστήσας
the neck having-raised and the wing in-a-circle having-spread
τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζει τὸ κάλλος τοῖς
the gold-gleaming and starry displays the beauty to-the
ἐρασταῖς μετὰ σοβαροῦ τοῦ βαδίσματος; Ἡ μὲν οὖν
lovers with proud the gait the indeed then

θεία γραφὴ καὶ γυναικῶν θαυμάζει σοφίαν τὴν ἐν
divine scripture even of-women admires (the)-wisdom the(-one) in
ὑφάσμασι, Τίς ἔδωκε, λέγουσα, γυναιξὶν ὑφάσματος σοφίαν
weavings who gave saying to-women of-weaving wisdom
καὶ ποικιλτικὴν ἐπιστήμην; ζώου λογικοῦ τοῦτο, καὶ
and of-embroidery skill of-(a)-creature rational this and
περιττοῦ τὴν σοφίαν, καὶ μέχρι τῶν οὐρανίων ὁδεύοντος.
excelling in-the wisdom and as-far-as the heavenly(-things) traveling
25 Σὺ δέ μοι θαύμασον καὶ ἀλόγων φυσικὴν σύνεσιν,
you and I-pray admire also of-irrational(-creatures) natural intelligence
καὶ τοὺς λόγους παράστησον. πῶς μὲν ὄρνισι καλιαὶ
and the reasons present how indeed for-birds nests
πέτραι τε καὶ δένδρα καὶ ὄροφοι, εἰς ἀσφάλειάν τε ὁμοῦ
rocks both and trees and roofs for safety both together
καὶ κάλλος ἐξησκημέναι, καὶ τοῖς τρεφομένοις ἐπιτηδείως;
and beauty wrought and for-the young suitably
πόθεν δὲ μελίσσαις τε καὶ ἀράχναις τὸ φιλεργὸν καὶ
whence and to-bees both and spiders the industry and
φιλότεχνον, ἵνα ταῖς μὲν τὰ κηρία πλέκηται καὶ
skill that by-the(-ones) indeed the honeycombs may-be-woven and
συνέχηται δι' ἑξαγώνων συρίγγων καὶ ἀντιστρόφων,
held-together through hexagonal tubes and facing
καὶ τὸ ἑδραῖον αὐταῖς διὰ τοῦ μέσου διατειχίσματος
and the firmness for-them through the middle partition
καὶ ἀλλαγῆς ἐπιπλεκομένων ταῖς εὐθείαις τῶν γωνιῶν
and alternation interlocking with-the straight(-lines) of-the angles
πραγματεύηται, καὶ ταῦτα ἐν ζοφεροῖς οὕτω τοῖς σίμβλοις
may-be-achieved and this in dark so the hives
καὶ ἀοράτοις τοῖς πλάσμασιν· αἱ δὲ διὰ λεπτῶν
and invisible the structures the(-others) and through fine
οὕτω καὶ ἀερίων σχεδὸν τῶν νημάτων πολυειδῶς
so and airy almost the threads in-many-ways

διατεταμένων πολυπλόκους τοὺς ἱστοὺς ἐξυφαίνωσι, καὶ
stretched intricate the webs may-weave and
ταῦτα ἐξ ἀφανῶν τῶν ἀρχῶν, οἴκησίν τε ὁμοῦ τιμίαν,
this from unseen the beginnings (a)-dwelling both together precious
καὶ θήραν τῶν ἀσθενεστέρων εἰς τροφῆς ἀπόλαυσιν;
and (a)-trap for-the weaker for of-food enjoyment
ποῖος Εὐκλείδης ἐμιμήσατο ταῦτα, γραμμαῖς ἐμφιλοσοφῶν
what Euclid imitated these with-lines philosophizing
ταῖς οὐκ οὔσαις, καὶ κάμνων ἐν ταῖς ἀποδείξεσι; τίνος
the not existing and toiling in the demonstrations what
Παλαμήδους τακτικὰ κινήματά τε καὶ σχήματα γεράνων,
Palamedes' tactical movements both and formations of-cranes
ὥς φασι, καὶ ταὐτὰ παιδεύματα κινουμένων ἐν τάξει, καὶ
as they-say and the-same lessons moving in order and
μετὰ ποικίλης τῆς πτήσεως; ποῖοι Φειδίαι καὶ Ζεύξιδες
with varied the flight what Pheidiases and Zeuxises
καὶ Πολύγνωτοι, Παρράσιοί τέ τινες καὶ Ἀγλαοφῶντες,
and Polygnotuses Parrhasiuses and some and Aglaophons
κάλλη μεθ' ὑπερβολῆς γράφειν καὶ πλάττειν εἰδότες; τίς
beauties with excess to-paint and to-mold knowing what
Κνώσσιος Δαιδάλου χορὸς ἐναρμόνιος, νύμφῃ πονηθεὶς
Cnossian of-Daedalus dance harmonious for-(a)-maiden wrought
εἰς κάλλους περιουσίαν, ἢ λαβύρινθος Κρητικὸς δυσδιέξοδος
to of-beauty excess or labyrinth Cretan hard-to-get-through
καὶ δυσέλικτος, ποιητικῶς εἰπεῖν, καὶ πολλάκις ἀπαντῶν
and hard-to-unwind poetically to-speak and often meeting
ἑαυτῷ τοῖς τῆς τέχνης σοφίσμασι; καὶ σιωπῶ μυρμήκων
itself by-the of-the art devices and I-pass-over of-ants
ταμιεῖά τε καὶ ταμίας, καὶ θησαυρισμὸν τροφῆς τῷ καιρῷ
storehouses both and stewards and storing of-food to-the season

σύμμετρον, τἄλλα τε ὅσα περὶ ὁδῶν καὶ περὶ ἡγουμένων
proportioned the-rest and what about roads and about leaders
καὶ τῆς ἐν τοῖς ἔργοις εὐταξίας ἔγνωμεν ἱστορούμενα.
and the in the works good-order we-have-known recorded

VII · THE RIDDLES OF THE WORLD

From the animals Gregory passes to the plants, their fruits, roots, and scents, and the precious stones; to the earth, resting on nothing but God's will, its springs, and the sea held within its bounds; to the air, the winds, rain, lightning, and thunder; and to the heavens, sun, moon, and stars. Last come the angels, whose nature too escapes him. If these elude the mind, how much more God.

26 Εἰ τούτων ἐφικτὸς ὁ λόγος σοι, καὶ τὴν περὶ ταῦτα
if of-these attainable the reason to-you and the about these
σύνεσιν ἔγνως, σκέψαι καὶ φυτῶν διαφοράς, μέχρι καὶ
understanding you-knew consider also of-plants differences as-far-as even
τῆς ἐν φύλλοις φιλοτεχνίας πρὸς τὸ ἥδιστόν τε ἅμα
the in leaves artistry for the(-thing) sweetest both together
ταῖς ὄψεσι καὶ τοῖς καρποῖς χρησιμώτατον. σκέψαι μοι
to-the eyes and for-the fruits most-useful consider I-pray
καὶ καρπῶν ποικιλίαν καὶ ἀφθονίαν, καὶ μάλιστα τῶν
also of-fruits variety and abundance and especially of-the
ἀναγκαιοτάτων τὸ κάλλιστον. καὶ σκέψαι μοι καὶ δυνάμεις
most-necessary the finest and consider I-pray also powers
ῥιζῶν καὶ χυμῶν καὶ ἀνθέων καὶ ὀδμῶν, οὐχ ἡδίστων μόνον,
of-roots and juices and flowers and scents not sweetest only
ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐπιτηδείων, καὶ χρωμάτων χάριτας
but also for health suitable and of-colors graces
καὶ ποιότητας. ἔτι δὲ λίθων πολυτελείας καὶ διαυγείας·
and qualities further and of-stones costliness and brilliance

ἐπειδή σοι πάντα προὔθηκεν, ὥσπερ ἐν πανδαισίᾳ κοινῇ,
since for-you all(-things) set-before as at (a)-feast common
ὅσα τε ἀναγκαῖα, καὶ ὅσα πρὸς ἀπόλαυσιν, ἡ φύσις·
what both necessary and what for enjoyment the nature
ἵν', εἰ μή τι ἄλλο, ἐξ ὧν εὐεργετῇ, γνωρίσῃς θεόν,
that if not anything else from what she-benefits you-may-know God
καὶ τῷ δεῖσθαι γένῃ σεαυτοῦ συνετώτερος. ἐντεῦθεν
and by-the to-need you-may-become than-yourself wiser thence
ἔπελθέ μοι γῆς πλάτη καὶ μήκη, τῆς κοινῆς πάντων
go-over I-pray of-(the)-earth breadths and lengths of-the common of-all
μητρός, καὶ κόλπους θαλαττίους ἀλλήλοις τε καὶ τῇ
mother and gulfs of-the-sea to-one-another both and to-the
γῇ συνδεομένους, καὶ ἀλσῶν κάλλη, καὶ ποταμούς, καὶ
land bound and of-groves beauties and rivers and
πηγὰς δαψιλεῖς τε καὶ ἀενάους, οὐ μόνον ψυχρῶν καὶ
springs abundant both and ever-flowing not only of-cold and
ποτίμων ὑδάτων, καὶ τῶν ὑπὲρ γῆς, ἀλλὰ καὶ ὅσαι
drinkable waters and of-those above earth but also as-many-as
ὑπὸ γῆν ῥέουσαι, καὶ σήραγγάς τινας ὑποτρέχουσαι, εἶτ'
under earth flowing and caverns some running-under then
ἐξωθούμεναι βιαίῳ τῷ πνεύματι καὶ ἀντιτυπούμεναι, εἶτ'
pushed-out by-violent the wind and resisted then
ἐκπυρούμεναι τῷ σφοδρῷ τῆς πάλης καὶ τῆς ἀντιθέσεως,
heated by-the violence of-the struggle and the resistance
ὅπη παρείκοι κατὰ μικρὸν ἀναρρήγνυνται, καὶ τὴν τῶν
where it-allows by little burst-forth and the of-the
θερμῶν λουτρῶν χρείαν ἐντεῦθεν ἡμῖν χαρίζονται πολλαχοῦ
hot baths use thence to-us grant in-many-places
τῆς γῆς, καὶ μετὰ τῆς ἐναντίας δυνάμεως ἰατρείαν
of-the earth and with the opposite power (a)-cure
ἄμισθον καὶ αὐτόματον. εἰπὲ πῶς καὶ πόθεν ταῦτα —
free and spontaneous say how and whence these(-things)

τί τὸ μέγα τοῦτο καὶ ἄτεχνον ὕφασμα — οὐχ ἧττον
what the great this and artless web not less
ἐπαινετὰ τῆς πρὸς ἄλληλα σχέσεως, ἢ καθ' ἕκαστον
praiseworthy in-the toward one-another relation than by each
θεωρούμενα; πῶς γῆ μὲν ἕστηκε παγία καὶ ἀκλινής;
considered how (the)-earth indeed stands firm and unswerving
ἐπὶ τίνος ὀχουμένη, καὶ τίνος ὄντος τοῦ ὑπερείδοντος;
on what riding and what being the(-thing) supporting
καὶ τίνος ἐκεῖνο πάλιν; οὐδὲ γὰρ ὁ λόγος ἔχει, ἐφ' ὃ
and what that again not-even for the reason has on which
ἐρεισθῇ, πλὴν τοῦ θείου θελήματος. καὶ πῶς ἡ
it-may-rest except the divine will and how the(-one-part)
μὲν εἰς ὀρῶν κορυφὰς ἀνηγμένη, ἡ δὲ εἰς πεδία
indeed to of-mountains peaks raised the(-other) and in plains
καθεζομένη, καὶ τοῦτο πολυειδῶς καὶ ποικίλως, καὶ ταῖς
settled and this in-many-forms and variously and with-the
κατ' ὀλίγον ἐναλλαγαῖς μεθισταμένη, πρός τε τὴν χρείαν
by little alternations changing for both the use
ἐστὶν ἀφθονωτέρα, καὶ τῷ ποικίλῳ χαριεστέρα; καὶ
it-is more-abundant and by-the variety more-graceful and
ἡ μὲν εἰς οἰκήσεις νενεμημένη, ἡ δὲ ἀοίκητος,
the(-one-part) indeed for dwellings apportioned the(-other) and uninhabited
ὅσην αἱ ὑπερβολαὶ τῶν ὀρῶν ἀποτέμνονται, καὶ ἄλλη
as-much-as the heights of-the mountains cut-off and other
πρὸς ἄλλο τι πέρας σχιζομένη καὶ ἀποβαίνουσα, τῆς
toward other some end split and departing of-the
τοῦ θεοῦ μεγαλουργίας ἐναργέστατόν ἐστι γνώρισμα;
— of-God magnificence (the)-clearest is token
27 Θαλάττης δέ, εἰ μὲν μὴ τὸ μέγεθος εἶχον θαυμάζειν,
of-(the)-sea and if indeed not the greatness I-had to-admire
ἐθαύμασα ἂν τὸ ἥμερον, καὶ πῶς ἵσταται λελυμένη τῶν
I-would-have-admired — the gentleness and how it-stands loosed of-the

ἰδίων ὅρων ἐντός· εἰ δὲ μὴ τὸ ἥμερον, πάντως τὸ μέγεθος.
own bounds within if and not the gentleness surely the greatness
ἐπεὶ δὲ ἀμφότερα, τὴν ἐν ἀμφοτέροις δύναμιν ἐπαινέσομαι.
since but both the in both power I-will-praise
τί τὸ συναγαγόν; τί τὸ δῆσαν; πῶς ἐπαίρεταί
what the(-thing) having-gathered what the(-thing) having-bound how it-rises
τε καὶ ἵσταται, ὥσπερ αἰδουμένη τὴν γείτονα γῆν; πῶς
both and stands as-if respecting the neighbor land how
καὶ δέχεται ποταμοὺς ἅπαντας, καὶ ἡ αὐτὴ διαμένει
also it-receives rivers all and the same remains
διὰ πλήθους περιουσίαν, ἢ οὐκ οἶδ' ὅτι χρὴ λέγειν;
because-of of-(its)-mass excess or not I-know what (one)-must say
πῶς ψάμμος ὅριον αὐτῇ, τηλικούτῳ στοιχείῳ; ἔχουσί
how sand (a)-boundary to-it so-great element have
τι λέγειν οἱ φυσικοὶ καὶ σοφοὶ τὰ μάταια,
anything to-say the natural(-philosophers) and wise in-the(-things) vain
καὶ κυάθῳ μετροῦντες ὄντως τὴν θάλασσαν, τὰ
and with-(a)-cup measuring truly the sea the(-things)
τηλικαῦτα ταῖς ἑαυτῶν ἐπινοίαις; ἢ συντόμως ἐγὼ παρὰ
so-great by-the their-own conceptions or briefly I from
τῆς γραφῆς τοῦτο φιλοσοφήσω καὶ τῶν μακρῶν λόγων
the scripture this will-philosophize and than-the long arguments
πιθανώτερόν τε καὶ ἀληθέστερον; Πρόσταγμα ἐγύρωσεν
more-persuasive both and truer (a)-command he-circled
ἐπὶ πρόσωπον ὕδατος. τοῦτο τῆς ὑγρᾶς φύσεως ὁ
upon (the)-face of-(the)-water this of-the liquid nature (is)-the
δεσμός. πῶς δὲ τὸν χερσαῖον ναυτίλον ἄγει ξύλῳ
bond how and the land(-born) sailor it-carries by-(a)-wood
μικρῷ καὶ πνεύματι, — τοῦτο οὐ θαυμάζεις ὁρῶν; οὐδ'
small and wind this not do-you-wonder-at seeing nor
ἐξίσταταί σου ἡ διάνοια; — ἵνα γῆ καὶ θάλασσα δεθῶσι
is-amazed your the mind that earth and sea may-be-bound

ταῖς χρείαις καὶ ταῖς ἐπιμιξίαις, καὶ εἰς ἓν ἔλθῃ τῷ
by-the needs and the intercourse and into one may-come for-the
ἀνθρώπῳ τὰ τοσοῦτον ἀλλήλων διεστηκότα κατὰ
man the(-things) so-much from-one-another separated in
τὴν φύσιν; τίνες δὲ πηγῶν αἱ πρῶται πηγαί, ζήτησον,
the nature what and of-springs the first springs seek
ἄνθρωπε, εἴ τί σοι τούτων ἐξιχνεῦσαι ἢ εὑρεῖν
man whether anything for-you of-these to-track-down or to-find
δυνατόν. καὶ τίς ὁ ποταμοῖς σχίσας καὶ πεδία καὶ
(is)-possible and who the(-one) for-rivers having-cleft both plains and
ὄρη, καὶ δοὺς τὸν δρόμον ἀκώλυτον; καὶ πῶς ἐκ
mountains and having-given the course unhindered and how from
τῶν ἐναντίων τὸ θαῦμα, μήτε θαλάσσης ἐπεξιούσης, μήτε
the opposites the wonder neither (the)-sea overflowing nor
ποταμῶν ἱσταμένων; τίς δὲ ἡ τῶν ὑδάτων τροφή, καὶ
(the)-rivers stopping what and the of-the waters nourishment and
τί τὸ ταύτης διάφορον, τῶν μὲν ἄνωθεν ἀρδομένων,
what the its difference the(-ones) indeed from-above watered
τῶν δὲ ταῖς ῥίζαις ποτιζομένων, ἵνα τι καὶ αὐτὸς
the(-others) and at-the roots given-drink that somewhat also myself
κατατρυφήσω τοῦ λόγου, θεοῦ τὴν τρυφὴν ἐξηγούμενος;
I-may-revel in-the discourse of-God the delight expounding
28 Ἄγε δὴ γῆν ἀφεὶς καὶ τὰ περὶ γῆν, πρὸς
come indeed (the)-earth having-left and the(-things) about earth to
τὸν ἀέρα κουφίσθητι τοῖς τῆς διανοίας πτεροῖς, ἵνα
the air be-lifted by-the of-the mind wings that
σοι καθ' ὁδὸν ὁ λόγος προίῃ· κἀκεῖθεν ἀνάξω σε
for-you in order the discourse may-advance and-thence I-will-lead-up you
πρὸς τὰ οὐράνια, καὶ τὸν οὐρανὸν αὐτόν, καὶ τὰ
to the heavenly(-things) and the heaven itself and the(-things)
ὑπὲρ οὐρανόν. καὶ τοῖς ἑξῆς ὀκνεῖ μὲν προσβῆναι
above heaven and to-the(-things) next shrinks indeed to-approach

ὁ λόγος, προσβήσεται δὲ ὅμως ὁπόσον ἔξεστι. τίς
the discourse will-approach but nevertheless as-far-as it-is-permitted who
ὁ χέας ἀέρα, τὸν πολὺν τοῦτον πλοῦτον καὶ
the(-one) having-poured-out air the abundant this wealth and
ἄφθονον, οὐκ ἀξίαις, οὐ τύχαις μετρούμενον, οὐχ ὅροις
unstinted not by-ranks not by-fortunes measured not by-bounds
κρατούμενον, οὐχ ἡλικίαις μεριζόμενον, ἀλλὰ κατὰ τὴν
held not by-ages divided but like the
τοῦ μάννα διανομὴν αὐταρκείᾳ περιλαμβανόμενον καὶ
of-the manna distribution by-sufficiency embraced and
ἰσομοιρίᾳ τιμώμενον· τὸ τῆς πτηνῆς φύσεως ὄχημα, τὴν
by-equal-share valued the of-the winged nature vehicle the
ἀνέμων ἕδραν, τὴν ὡρῶν εὐκαιρίαν, τὴν ζώων ψύχωσιν,
of-winds seat the of-seasons timeliness the of-creatures animation
μᾶλλον δὲ τῆς ψυχῆς πρὸς τὸ σῶμα συντήρησιν, ἐν ᾧ
rather and of-the soul with the body preservation in which
σώματα, καὶ μεθ᾽ οὗ λόγος, ἐν ᾧ φῶς καὶ τὸ
bodies and with which speech in which light and the(-thing)
φωτιζόμενον, καὶ ἡ ὄψις ἡ δι᾽ αὐτοῦ ῥέουσα;
illumined and the sight the(-one) through it flowing
σκόπει δέ μοι καὶ τὰ ἑξῆς· οὐ γὰρ συγχωροῦμαι
consider and I-pray also the(-things) next not for I-concede
τῷ ἀέρι δοῦναι τὴν ἅπασαν δυναστείαν τῶν τοῦ
to-the air to-give the whole dominion over-the(-things) of-the
ἀέρος εἶναι νομιζομένων. τίνα μὲν ἀνέμων ταμιεῖα; τίνες
air to-be thought what indeed of-winds storehouses what
δὲ θησαυροὶ χιόνος; τίς δὲ ὁ τετοκὼς βώλους
and treasuries of-snow who and the(-one) having-begotten clods
δρόσου, κατὰ τὸ γεγραμμένον; ἐκ γαστρὸς δὲ
of-dew according-to the(-thing) written from (the)-womb and
τίνος ἐκπορεύεται κρύσταλλος; τίς ὁ δεσμεύων ὕδωρ
of-whom comes-forth ice who the(-one) binding water

ἐν νεφέλαις, καὶ τὸ μὲν ἱστὰς ἐπὶ τῶν νεφελῶν
in clouds and the(-one) indeed making-stand on the clouds
— ὦ τοῦ θαύματος — λόγῳ κρατουμένην φύσιν τὴν
O the wonder by-(a)-word held nature the
ῥέουσαν, τὸ δὲ ἐκχέων ἐπὶ πρόσωπον πάσης τῆς
flowing the(-other) and pouring-out upon (the)-face of-all the
γῆς, καὶ σπείρων καιρίως καὶ ὁμοτίμως, καὶ οὔτε ἀφιεὶς
earth and sowing timely and equally and neither letting-go
ἅπασαν τὴν ὑγρὰν οὐσίαν ἐλευθέραν καὶ ἄσχετον, —
all the liquid substance free and unrestrained
ἀρκεῖ γὰρ ἡ ἐπὶ Νῶε κάθαρσις, καὶ τῆς ἑαυτοῦ
suffices for the in(-the-time-of) Noah cleansing and of-the his-own
διαθήκης οὐκ ἐπιλήσμων ὁ ἀψευδέστατος, — οὔτε
covenant not forgetful the(-one) most-truthful nor
ἀνέχων παντάπασιν, ἵνα μὴ πάλιν Ἠλίου τινὸς δεηθῶμεν,
withholding altogether that not again Elijah some we-may-need
τὴν ξηρότητα λύοντος; Ἐὰν κλείσῃ, φησί, τὸν οὐρανόν,
the drought ending if he-shuts it-says the heaven
τίς ἀνοίξει; ἐὰν δὲ ἀνοίξῃ τοὺς καταράκτας, τίς συνέξει;
who will-open if and he-opens the floodgates who will-hold-back
τίς οἴσει τὴν ἐπ᾽ ἀμφότερα τοῦ ὑετίζοντος ἀμετρίαν,
who will-bear the in both of-the(-one) sending-rain excess
ἐὰν μὴ τοῖς ἑαυτοῦ μέτροις καὶ σταθμοῖς διεξαγάγῃ τὰ
if not by-the his-own measures and weights he-conduct the
σύμπαντα; τί μοι φιλοσοφήσεις περὶ ἀστραπῶν καὶ
universe what to-me will-you-philosophize about lightnings and
βροντῶν, ὦ βροντῶν ἀπὸ γῆς σὺ καὶ οὐδὲ μικροῖς
thunders O thundering from earth you and not-even with-small
σπινθῆρσι τῆς ἀληθείας λαμπόμενε; τίνας ἀτμοὺς ἀπὸ γῆς
sparks of-the truth shining what vapors from earth
αἰτιάσῃ νέφους δημιουργούς, ἢ ἀέρος πύκνωσίν τινα, ἢ
will-you-allege of-cloud makers or of-air condensation some or

νεφῶν τῶν μανοτάτων θλῖψιν ἢ σύρρηξιν, ἵνα ἡ μὲν
of-clouds the thinnest pressure or collision that the indeed
θλίψις σοι τὴν ἀστραπήν, ἡ δὲ ῥῆξις τὴν βροντὴν
pressure for-you the lightning the and bursting the thunder
ἀπεργάσηται; ποῖον δὲ πνεῦμα στενοχωρούμενον, εἶτα οὐκ
may-produce what and wind confined then not
ἔχον διέξοδον, ἵνα ἀστράψῃ θλιβόμενον, καὶ βροντήσῃ
having outlet that it-may-flash pressed and may-thunder
ῥηγνύμενον; εἰ τὸν ἀέρα διῆλθες τῷ λογισμῷ, καὶ
bursting if the air you-have-gone-through with-the reasoning and
ὅσα περὶ ἀέρα, ψαῦσον ἤδη σὺν ἐμοὶ καὶ οὐρανοῦ καὶ τῶν
what about air touch now with me also heaven and the
οὐρανίων. πίστις δὲ ἀγέτω πλέον ἡμᾶς ἢ λόγος, εἴπερ
heavenly(-things) faith and let-lead more us than reason if-indeed
ἔμαθες τὸ ἀσθενὲς ἐν τοῖς ἐγγυτέρω, καὶ λόγον ἔγνως
you-learned the weakness in the(-things) nearer and reason you-knew
τὸ γνῶναι τὰ ὑπὲρ λόγον, ἵνα μὴ παντελῶς ἐπίγειος
the to-know the(-things) beyond reason that not wholly earthly
ᾖς ἢ περίγειος, ἀγνοῶν καὶ αὐτὸ τοῦτο, τὴν ἄγνοιαν.
you-may-be or earth-bound not-knowing even itself this the ignorance
Τίς περιήγαγεν οὐρανόν, ἔταξεν ἀστέρας; μᾶλλον δὲ τί 29
who set-revolving heaven ordered stars rather and what
πρὸ τούτων οὐρανὸς καὶ ἀστέρες ἔχοις ἂν εἰπεῖν ὁ
before these heaven and stars you-could — say the(-one)
μετέωρος, ὁ τὰ ἐν ποσὶν ἀγνοῶν, καὶ οὐδὲ
lofty the(-one) the(-things) at feet not-knowing and not-even
σεαυτὸν μετρῆσαι δυνάμενος, τὰ δὲ ὑπὲρ τὴν σὴν φύσιν
yourself to-measure able the(-things) but beyond the your nature
πολυπραγμονῶν, καὶ κεχηνὼς εἰς τὰ ἄμετρα; ἔστω γάρ
busily-inquiring and gaping at the(-things) measureless let-it-be for
σε κύκλους καὶ περιόδους καὶ πλησιασμοὺς καὶ ἀποχωρήσεις
you circles and periods and approaches and withdrawals

καταλαμβάνειν, ἐπιτολὰς καὶ ἀνατολάς, καὶ μοίρας τινὰς
to-grasp risings and rising-points and degrees certain
καὶ λεπτότητας, καὶ ὅσοις σὺ τὴν θαυμασίαν σου
and subtleties and by-whatever(-things) you the wonderful your
ταύτην ἐπιστήμην ἀποσεμνύνεις· οὔπω τοῦτο κατάληψις
this science glorify not-yet this comprehension
τῶν ὄντων ἐστίν, ἀλλὰ κινήσεώς τινος ἐπιτήρησις, ἣ
of-the beings is but of-motion some observation which
πλείονι γυμνασίᾳ βεβαιωθεῖσα, καὶ εἰς ἓν ἀγαγοῦσα τὰ
by-more practice confirmed and into one having-brought the(-things)
τηρηθέντα πλείοσιν, εἶτα λόγον ἐπινοήσασα, ἐπιστήμη
observed by-more(-men) then (a)-theory having-devised (a)-science
προσηγορεύθη· ὥσπερ τὰ περὶ σελήνην παθήματα γνώριμα
was-named as the about (the)-moon phases known
γέγονε τοῖς πολλοῖς, τὴν ὄψιν ἀρχὴν λαβόντα τῆς
have-become to-the many the sight (as)-beginning having-taken of-the
γνώσεως. σὺ δέ, εἰ λίαν ἐπιστήμων εἶ τούτων, καὶ
knowledge you but if very expert you-are in-these and
δικαίως ζητεῖς θαυμάζεσθαι, εἰπὲ τίς ἡ τῆς τάξεως αἰτία καὶ
justly you-seek to-be-admired tell what the of-the order cause and
τῆς κινήσεως; πόθεν ἥλιος φρυκτωρεῖ πάσῃ τῇ οἰκουμένῃ
of-the motion whence (the)-sun beacons to-all the world
καὶ πάσαις ὄψεσιν, ὥσπερ χοροῦ τινὸς κορυφαῖος, πλέον
and to-all eyes like of-chorus some leader more
τοὺς ἄλλους ἀστέρας ἀποκρύπτων φαιδρότητι ἤ τινες
the other stars hiding in-brightness than some
ἐκείνων ἑτέρους; ἀπόδειξις δέ, οἱ μὲν ἀντιλάμπουσιν, ὁ δὲ
of-those others (the)-proof and they indeed shine-against(-each-other) he but
ὑπερλάμπει, καὶ οὐδὲ ὅτι συνανίσχουσιν ἐᾷ γνωρίζεσθαι,
outshines and not-even that they-rise-with(-him) allows to-be-known
καλὸς ὡς νυμφίος, ταχὺς ὡς γίγας καὶ μέγας· οὐδὲ γὰρ
fair as (a)-bridegroom swift as (a)-giant and great nor for

ἀνέχομαι ἄλλοθεν ἢ τοῖς ἐμοῖς τοῦτον ἀποσεμνύνειν·
I-bear from-elsewhere than from-the my(-own) him to-glorify
τοσοῦτος τὴν δύναμιν, ὥστε ἀπ᾽ ἄλλων ἄκρων ἄλλα
so-great in-the power that from other ends other(-ends)
τῇ θερμότητι καταλαμβάνειν, καὶ μηδὲν διαφεύγειν
with-the heat to-reach and nothing to-escape
αὐτοῦ τὴν αἴσθησιν, ἀλλὰ πᾶσαν πληροῦσθαι καὶ ὄψιν
his the perception but all to-be-filled both sight
φωτὸς καὶ σωματικὴν φύσιν θερμότητος· θέροντος, ἀλλ᾽ οὐ
with-light and bodily nature with-heat warming but not
φλέγοντος, εὐκρασίας ἡμερότητι καὶ τάξει κινήσεως,
burning of-(its)-temperateness by-(the)-gentleness and by-order of-motion
ὡς πᾶσι παρόντος, καὶ πάντα ἐπίσης περιλαμβάνοντος.
as to-all being-present and all(-things) equally embracing
Ἐκεῖνο δέ σοι πηλίκον, εἰ κατενόησας· Τοῦτο ἐν αἰσθητοῖς 30
that and to-you how-great if you-considered this in sensible(-things)
ἥλιος, ὅπερ ἐν νοητοῖς θεός, ἔφη τις τῶν ἀλλοτρίων.
(the)-sun which in intelligible(-things) God said one of-the outsiders
αὐτὸς γὰρ ὄψιν φωτίζων, ὥσπερ ἐκεῖνος νοῦν· αὐτὸς καὶ
he for sight illumining as that(-one) mind he also
τῶν ὁρωμένων ἐστὶ τὸ κάλλιστον, ὥσπερ ἐκεῖνος
of-the(-things) seen is the fairest as that(-one)
τῶν νοουμένων. ἀλλὰ τί τὸ κινῆσαν αὐτὸν
of-the(-things) thought but what the(-thing) having-moved him
ἀπ᾽ ἀρχῆς; τί δὲ τὸ ἀεὶ κινοῦν καὶ περιάγον
from (the)-beginning what and the(-thing) always moving and leading-round
ἑστῶτα λόγῳ καὶ μὴ κινούμενον, ὄντως ἀκάμαντα, καὶ
standing by-reason and not moved truly unwearied and
φερέσβιον, καὶ φυσίζωον, καὶ ὅσα ποιηταῖς ὕμνηται
life-bearing and life-producing and whatever by-poets has-been-hymned
κατὰ λόγον, καὶ μήτε τῆς ἑαυτοῦ φορᾶς ποτὲ μήτε
according-to reason and neither of-the his-own course ever nor

τῶν εὐεργεσιῶν ἱστάμενον; πῶς ἡμέρας δημιουργὸς ὑπὲρ
of-the benefits stopping how of-day maker above
γῆς καὶ νυκτὸς ὑπὸ γῆν; ἢ οὐκ οἶδ' ὅ τι χρὴ λέγειν
earth and of-night under earth or not I-know what — (one)-must say
ἡλίῳ προσβλέψαντα. τίς ἡ τούτων πρόσληψίς τε καὶ
to-(the)-sun having-looked what the of-these increase both and
ἀνθυφαίρεσις, καὶ ἡ τῆς ἀνισότητος ἰσότης, ἵν' εἴπω
decrease and the of-the inequality equality that I-may-say
τι καὶ παράδοξον; πῶς δὲ ὡρῶν ποιητής τε καὶ
something also paradoxical how and of-seasons maker both and
μεριστής, εὐτάκτως ἐπιγινομένων τε καὶ ἀπογινομένων,
divider orderly coming-on both and departing
καὶ ὥσπερ ἐν χορῷ συμπλεκομένων ἀλλήλαις καὶ
and as in (a)-dance interweaving with-one-another and
διισταμένων, τὸ μὲν φιλίας νόμῳ, τὸ δὲ
separating the(-one) indeed of-friendship by-law the(-other) and
εὐταξίας, καὶ κατὰ μικρὸν κιρναμένων, καὶ ταῖς ἐγγύτησι
of-good-order and by little mingled and by-the nearnesses
κλεπτομένων ταὐτὸν ἡμέραις τε καὶ νυξίν, ἵνα μὴ τῇ
stealing-in the-same with-days both and nights that not by-the
ἀηθείᾳ λυπήσωσιν; ἀλλ' ἴτω μὲν ἡμῖν ἥλιος· σὺ δὲ ἔγνως
strangeness they-may-grieve but let-go indeed for-us (the)-sun you but knew
σελήνης φύσιν, καὶ πάθη, καὶ μέτρα φωτός, καὶ δρόμους,
of-(the)-moon (the)-nature and phases and measures of-light and courses
καὶ πῶς ὁ μὲν ἡμέρας ἔχει τὴν δυναστείαν, ἡ
and how the(-one) indeed of-day has the dominion the(-other)
δὲ νυκτὸς προκαθέζεται, καὶ ἡ μὲν θηρίοις δίδωσι
and of-night presides and the(-one) indeed to-beasts gives
παρρησίαν, ὁ δὲ ἄνθρωπον ἐπὶ τὸ ἔργον ἀνίστησιν,
boldness the(-other) and man to the work raises-up
ἢ ὑψούμενος ἢ ταπεινούμενος πρὸς τὸ χρησιμώτατον;
or being-raised or being-lowered toward the most-useful

συνῆκας δὲ δεσμὸν Πλειάδος ἢ φραγμὸν Ὡρίωνος, ὡς
did-you-understand and (the)-bond of-(the)-Pleiad or (the)-fence of-Orion as
ὁ ἀριθμῶν πλήθη ἄστρων καὶ πᾶσιν αὐτοῖς ὀνόματα
the(-one) numbering multitudes of-stars and to-all them names
καλῶν, καὶ δόξης ἑκάστου διαφοράν, καὶ τάξιν κινήσεως,
calling and of-glory of-each difference and order of-motion
ἵνα σοι πιστεύσω διὰ τούτων πλέκοντι τὰ ἡμέτερα καὶ
that you I-may-trust through these weaving the our(-affairs) and
κατὰ τοῦ κτίστου τὴν κτίσιν ὁπλίζοντι;
against the creator the creation arming
Τί λέγεις; ἐνταῦθα στησόμεθα τοῦ λόγου μέχρι τῆς 31
what do-you-say here shall-we-stop of-the discourse at the
ὕλης καὶ τῶν ὁρωμένων; ἢ ἐπειδὴ τοῦ κόσμου παντὸς
matter and the(-things) seen or since of-the world whole
ἀντίτυπον τὴν Μωυσέως σκηνὴν οἶδεν ὁ λόγος, τοῦ ἐξ
(a)-copy the of-Moses tent knows the word of-the from
ὁρατῶν τε καὶ ἀοράτων λέγω συστήματος, τὸ πρῶτον
visible both and invisible I-mean system the first
καταπέτασμα διασχόντες, καὶ ὑπερβάντες τὴν αἴσθησιν,
veil having-passed-through and having-gone-beyond the sense
εἰς τὰ ἅγια παρακύψωμεν, τὴν νοητὴν φύσιν καὶ
into the holy(-places) let-us-peep the intelligible nature and
ἐπουράνιον; οὐκ ἔχομεν οὐδὲ ταύτην ἀσωμάτως ἰδεῖν,
heavenly not we-are-able not-even this bodilessly to-see
εἰ καὶ ἀσώματος, πῦρ καὶ πνεῦμα προσαγορευομένην
if even bodiless fire and spirit called
ἢ γινομένην. ποιεῖν γὰρ λέγεται τοὺς ἀγγέλους αὐτοῦ
or becoming to-make for is-said the angels his
πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· εἰ
spirits and the ministers his of-fire flame if
μὴ ποιεῖν μέν ἐστι τὸ συντηρεῖν τῷ λόγῳ, καθ' ὃν
not to-make indeed is the to-preserve by-the word according-to which

ἐγένοντο. πνεῦμα δὲ ἀκούει καὶ πῦρ· τὸ μὲν ὡς
they-came-to-be spirit and is-called and fire the(-one) indeed as
νοητὴ φύσις, τὸ δὲ ὡς καθάρσιος· ἐπεὶ καὶ τῆς
intelligible nature the(-other) and as purifying since also of-the
πρώτης οὐσίας τὰς αὐτὰς οἶδα κλήσεις. πλὴν ἡμῖν γε
first substance the same I-know names however for-us at-least
ἀσώματος ἔστω, ἢ ὅτι ἐγγύτατα. ὁρᾷς ὅπως ἰλιγγιῶμεν
bodiless let-it-be or as nearly(-as-possible) you-see how we-grow-dizzy
περὶ τὸν λόγον, καὶ οὐκ ἔχομεν οἳ προέλθωμεν, ἢ
about the discourse and not we-have whither we-may-advance than
τοσοῦτον ὅσον εἰδέναι ἀγγέλους τινὰς καὶ ἀρχαγγέλους,
so-much as to-know angels some and archangels
θρόνους, κυριότητας, ἀρχάς, ἐξουσίας, λαμπρότητας,
thrones dominions principalities authorities splendors
ἀναβάσεις, νοερὰς δυνάμεις, ἢ νόας, καθαρὰς φύσεις καὶ
ascents intellectual powers or minds pure natures and
ἀκιβδήλους, ἀκινήτους πρὸς τὸ χεῖρον ἢ δυσκινήτους,
unalloyed immovable toward the worse or hard-to-move
περὶ τὸ πρῶτον αἴτιον ἀεὶ χορευούσας· ἢ πῶς ἄν τις
about the first cause always dancing or how — anyone
αὐτὰς ἀνυμνήσειεν, ἐκεῖθεν ἐλλαμπομένας τὴν καθαρωτάτην
them could-hymn thence illumined the purest
ἔλλαμψιν, ἢ ἄλλως ἄλλην κατὰ τὴν ἀναλογίαν τῆς
illumination or otherwise other according-to the proportion of-the
φύσεως καὶ τῆς τάξεως· τοσοῦτον τῷ καλῷ μορφουμένας
nature and of-the rank so-much by-the beautiful formed
καὶ τυπουμένας, ὥστε ἄλλα γίνεσθαι φῶτα καὶ ἄλλους
and shaped that other to-become lights and others
φωτίζειν δύνασθαι ταῖς τοῦ πρώτου φωτὸς ἐπιρροαῖς τε
to-illumine to-be-able by-the of-the first light outpourings both
καὶ διαδόσεσι· λειτουργοὺς θείου θελήματος, δυνατὰς
and impartings ministers of-(the)-divine will powerful

ἰσχύι φυσικῇ τε καὶ ἐπικτήτῳ, πάντα ἐπιπορευομένας,
in-strength natural both and acquired all(-places) traversing
πᾶσι πανταχοῦ παρούσας ἑτοίμως, προθυμίᾳ τε λειτουργίας
to-all everywhere present readily by-eagerness both of-service
καὶ κουφότητι φύσεως· ἄλλας ἄλλο τι τῆς οἰκουμένης
and by-lightness of-nature others other some of-the world
μέρος διειληφυίας, ἢ ἄλλῳ τινὶ τοῦ παντὸς
part having-taken-in-charge or to-another some(-part) of-the universe
ἐπιτεταγμένας, ὡς οἶδεν ὁ ταῦτα τάξας καὶ
appointed as knows the(-one) these having-ordered and
διορίσας· πάντα εἰς ἓν ἀγούσας, πρὸς μίαν σύννευσιν
having-distinguished all(-things) into one leading to one convergence
τοῦ τὰ πάντα δημιουργήσαντος· ὑμνῳδοὺς θείας
of-the(-one) the all(-things) having-made hymners of-(the)-divine
μεγαλειότητος, θεωροὺς δόξης ἀιδίου καὶ ἀιδίως, οὐχ ἵνα
majesty beholders of-glory everlasting and everlastingly not that
δοξασθῇ θεός, — οὐ γὰρ ἔστιν ὃ προστεθήσεται τῷ
may-be-glorified God not for is what will-be-added to-the
πλήρει, τῷ καὶ τοῖς ἄλλοις χορηγῷ τῶν καλῶν, — ἀλλ'
full(-one) the(-one) also to-the others supplier of-the goods but
ἵνα μὴ λείπῃ τὸ εὐεργετεῖσθαι καὶ ταῖς πρώταις μετὰ
that not may-be-lacking the to-be-benefited even to-the first after
θεὸν φύσεσι; ταῦτα εἰ μὲν πρὸς ἀξίαν ὕμνηται,
God natures these(-things) if indeed according-to worth has-been-hymned
τῆς τριάδος ἡ χάρις, καὶ τῆς μιᾶς ἐν τοῖς τρισὶ θεότητος·
of-the trinity the grace and of-the one in the three godhead
εἰ δὲ τῆς ἐπιθυμίας ἐνδεέστερον, ἔχει τὸ νικᾷν καὶ οὕτως
if but of-the desire more-deficient has the to-prevail even thus
ὁ λόγος. τοῦτο γὰρ ἠγωνίζετο παραστῆσαι, ὅτι νοῦ
the discourse this for strove to-show that than-mind

κρείττων καὶ ἡ τῶν δευτέρων φύσις, μὴ ὅτι τῆς πρώτης
greater even the of-the second(-ones) nature not to-say of-the first
καὶ μόνης, ὀκνῶ γὰρ εἰπεῖν, ὑπὲρ ἅπαντα.
and only I-shrink for to-say beyond all

VIII · THE GENERATION

Gregory sets out his own doctrine, then overturns his opponents'. The monarchy he honors is not one person but a monad that moved to a dyad and came to rest at a triad, the Father begetting the Son and putting forth the Spirit without passion and outside time. Asked when the Son was begotten, he answers: beyond the when. Generation is no passion, the Son's origin no beginning in time, and the dilemma of willing or unwilling he turns back on the questioner's own birth and on God's creating.

1 Ἃ μὲν οὖν εἴποι τις ἂν ἐπικόπτων τὴν περὶ τὸν
(the-things)-which indeed then might-say one — checking the in the
λόγον αὐτῶν ἑτοιμότητα καὶ ταχύτητα, καὶ τὸ τοῦ τάχους
argument their readiness and quickness and the of-the speed
ἐπισφαλὲς ἐν πᾶσι μὲν πράγμασι, μάλιστα δὲ ἐν τοῖς περὶ
risk in all indeed matters especially and in the about
θεοῦ λόγοις, ταῦτά ἐστιν. ἐπεὶ δὲ τὸ μὲν ἐπιτιμᾷν οὐ
God discourses these(-things) are since but the indeed to-censure not
μέγα· ῥᾷστον γὰρ καὶ τοῦ βουλομένου παντός· τὸ δὲ
(a)-great(-thing) easiest for and of-the wishing everyone the but
ἀντεισάγειν τὴν ἑαυτοῦ γνώμην ἀνδρὸς εὐσεβοῦς καὶ νοῦν
to-set-against the his-own view of-(a)-man pious and sense
ἔχοντος· φέρε, τῷ ἁγίῳ θαρρήσαντες πνεύματι, τῷ παρ'
having come in-the holy trusting spirit the by
αὐτῶν μὲν ἀτιμαζομένῳ, παρ' ἡμῶν δὲ προσκυνουμένῳ,
them indeed dishonored by us but worshiped

τὰς ἡμετέρας περὶ τῆς θεότητος ὑπολήψεις, αἵ τινές
the our about the godhead conceptions which whatever
ποτέ εἰσιν, ὥσπερ τινὰ τόκον εὐγενῆ τε καὶ ὥριμον
ever are as some offspring noble both and ripe
εἰς φῶς προενέγκωμεν· οὐδὲ ἄλλοτε μὲν σιωπήσαντες,
into light let-us-bring-forth nor at-other-times indeed having-been-silent
τοῦτο γὰρ μόνον ἡμεῖς νεανικοί τε καὶ μεγαλόφρονες,
this for only we youthful both and high-minded
νῦν δὲ καὶ μᾶλλον παρρησιαζόμενοι τὴν ἀλήθειαν· ἵνα
now but also rather speaking-boldly the truth that
μὴ τῇ ὑποστολῇ, καθὼς γέγραπται, τὸ μὴ εὐδοκεῖσθαι
not by-the shrinking as it-is-written the not to-be-well-pleased
κατακριθῶμεν. διττοῦ δὲ ὄντος λόγου παντός, τοῦ
we-may-be-condemned twofold and being of-argument every the(-one)
μὲν τὸ οἰκεῖον κατασκευάζοντος, τοῦ δὲ τὸ ἀντίπαλον
indeed the own establishing the(-other) and the opposing
ἀνατρέποντος, καὶ ἡμεῖς τὸν οἰκεῖον ἐκθέμενοι πρότερον,
overturning also we the own having-set-forth first
οὕτω τὰ τῶν ἐναντίων ἀνατρέψαι πειρασόμεθα· καὶ
thus the(-things) of-the opponents to-overturn will-try and
ἀμφότερα ὡς οἷόν τε διὰ βραχέων, ἵν' εὐσύνοπτα
both as possible — through few(-words) that easy-to-survey
γένηται τὰ λεγόμενα, ὥσπερ ὂν αὐτοὶ λόγον
may-become the(-things) said as which they-themselves argument
εἰσαγωγικὸν ἐπενόησαν πρὸς ἐξαπάτην τῶν ἁπλουστέρων
introductory devised for deception of-the simpler
ἢ εὐηθεστέρων, καὶ μὴ τῷ μήκει τοῦ λόγου διαχεθῇ
or sillier and not by-the length of-the argument may-be-diffused
τὰ νοούμενα, καθάπερ ὕδωρ οὐ σωλῆνι σφιγγόμενον,
the(-things) thought as water not by-(a)-pipe compressed
ἀλλὰ κατὰ πεδίου χεόμενον καὶ λυόμενον.
but over (a)-plain poured and dissipated

2 Τρεῖς αἱ ἀνωτάτω δόξαι περὶ θεοῦ, ἀναρχία, καὶ
three the highest opinions about God anarchy and
πολυαρχία, καὶ μοναρχία. αἱ μὲν οὖν δύο παισὶν
polyarchy and monarchy the indeed then two by-children
Ἑλλήνων ἐπαίχθησαν, καὶ παιζέσθωσαν. τό τε γὰρ
of-Greeks were-played and let-them-be-played the both for
ἄναρχον ἄτακτον· τό τε πολύαρχον στασιῶδες, καὶ οὕτως
anarchic (is)-disorderly the and polyarchic factious and thus
ἄναρχον, καὶ οὕτως ἄτακτον. εἰς ταὐτὸν γὰρ ἀμφότερα
anarchic and thus disorderly to the-same for both
φέρει, τὴν ἀταξίαν, ἡ δὲ εἰς λύσιν· ἀταξία γὰρ μελέτη
leads the disorder it and into dissolution disorder for (is-the)-practice
λύσεως. ἡμῖν δὲ μοναρχία τὸ τιμώμενον· μοναρχία
of-dissolution for-us but monarchy the(-thing) honored monarchy
δέ, οὐχ ἣν ἓν περιγράφει πρόσωπον· ἔστι γὰρ καὶ
but not which one circumscribes person it-is-possible for even
τὸ ἓν στασιάζον πρὸς ἑαυτὸ πολλὰ καθίστασθαι· ἀλλ᾽ ἣν
the one being-at-strife with itself many to-become but which
φύσεως ὁμοτιμία συνίστησι, καὶ γνώμης σύμπνοια, καὶ
of-nature equality-of-honor constitutes and of-will concord and
ταὐτότης κινήσεως, καὶ πρὸς τὸ ἓν τῶν ἐξ αὐτοῦ
sameness of-motion and toward the one of-the(-ones) from it
σύννευσις, ὅπερ ἀμήχανον ἐπὶ τῆς γενητῆς φύσεως, ὥστε
convergence which (is)-impossible in the created nature so-that
κἂν ἀριθμῷ διαφέρῃ, τῇ γε οὐσίᾳ μὴ τέμνεσθαι.
even-if in-number it-differ in-the at-least substance not to-be-divided
διὰ τοῦτο μονὰς ἀπ᾽ ἀρχῆς, εἰς δυάδα κινηθεῖσα,
because-of this (the)-monad from (the)-beginning into (a)-dyad moved
μέχρι τριάδος ἔστη. καὶ τοῦτό ἐστιν ἡμῖν ὁ πατήρ, καὶ
as-far-as (a)-triad stopped and this is for-us the father and
ὁ υἱός, καὶ τὸ ἅγιον πνεῦμα· ὁ μὲν γεννήτωρ καὶ
the son and the holy spirit the(-one) indeed begetter and

προβολεύς, λέγω δὲ ἀπαθῶς, καὶ ἀχρόνως, καὶ ἀσωμάτως·
emitter I-mean and impassibly and timelessly and incorporeally
τῶν δέ, τὸ μὲν γέννημα, τὸ δὲ πρόβλημα, ἢ
of-the(-others) and the(-one) indeed offspring the(-other) and emission or
οὐκ οἶδ' ὅπως ἄν τις ταῦτα καλέσειεν, ἀφελὼν πάντῃ
not I-know how — one these could-call having-removed wholly
τῶν ὁρωμένων. οὐ γὰρ δὴ ὑπέρχυσιν ἀγαθότητος
from-the(-things) seen not for indeed overflow of-goodness
εἰπεῖν θαρρήσομεν, ὃ τῶν παρ' Ἕλλησι φιλοσοφησάντων
to-say we-will-dare which of-the among Greeks having-philosophized
εἰπεῖν τις ἐτόλμησεν, οἷον κρατήρ τις ὑπερερρύη, σαφῶς
to-say one dared as bowl some overflowed clearly
οὑτωσὶ λέγων, ἐν οἷς περὶ πρώτου αἰτίου καὶ δευτέρου
thus saying in which about (the)-first cause and second
φιλοσοφεῖ· μή ποτε ἀκούσιον τὴν γέννησιν εἰσαγάγωμεν,
he-philosophizes lest ever involuntary the generation we-introduce
καὶ οἷον περίττωμά τι φυσικὸν καὶ δυσκάθεκτον,
and as-it-were superfluity some natural and hard-to-restrain
ἥκιστα ταῖς περὶ θεότητος ὑπονοίαις πρέπον. διὰ
least to-the about godhead conceptions fitting because-of
τοῦτο ἐπὶ τῶν ἡμετέρων ὅρων ἱστάμενοι τὸ ἀγέννητον
this within the our bounds standing the unbegotten
εἰσάγομεν, καὶ τὸ γεννητόν, καὶ τὸ ἐκ τοῦ πατρὸς
we-introduce and the begotten and the(-one) from the father
ἐκπορευόμενον, ὥς πού φησιν αὐτὸς ὁ θεὸς καὶ λόγος.
proceeding as somewhere says himself — God and word
Πότε οὖν ταῦτα; ὑπὲρ τὸ πότε ταῦτα. εἰ δὲ δεῖ τι 3
when then these(-things) beyond the when these if and (one)-must something
καὶ νεανικῶς εἰπεῖν, ὅτε ὁ πατήρ. πότε δὲ ὁ πατήρ; οὐκ
also boldly to-say when the father when and the father not
ἦν ὅτε οὐκ ἦν. τοῦτο οὖν καὶ ὁ υἱός, καὶ τὸ πνεῦμα τὸ
was when not was this then also the son and the spirit the

ἅγιον. πάλιν ἐρώτα με, καὶ πάλιν ἀποκρινοῦμαί σοι. πότε
holy again ask me and again I-will-answer you when
ὁ υἱὸς γεγέννηται; ὅτε ὁ πατὴρ οὐ γεγέννηται. πότε δὲ τὸ
the son has-been-begotten when the father not has-been-begotten when and the
πνεῦμα ἐκπεπόρευται; ὅτε ὁ υἱὸς οὐκ ἐκπεπόρευται, ἀλλὰ
spirit has-proceeded when the son not has-proceeded but
γεγέννηται ἀχρόνως καὶ ὑπὲρ λόγον· εἰ καὶ μὴ δυνάμεθα
has-been-begotten timelessly and beyond reason if even not we-are-able
τὸ ὑπὲρ χρόνον παραστῆσαι, θέλοντες χρονικὴν
the(-thing) beyond time to-present wishing temporal
ἐκφυγεῖν ἔμφασιν· τὸ γὰρ ὅτε, καὶ πρὸ τοῦδε, καὶ μετὰ
to-escape suggestion the for when and before this and after
ταῦτα, καὶ ἀπ᾽ ἀρχῆς, οὐκ ἄχρονα, κἂν ὅτι μάλιστα
these(-things) and from (the)-beginning (are)-not timeless even-if as most
βιαζώμεθα· πλὴν εἰ τὸ παρεκτεινόμενον τοῖς ἀιδίοις
we-force(-them) except if the extending-alongside to-the everlasting(-things)
διάστημα τὸν αἰῶνα λαμβάνοιμεν, τὸ μὴ κινήσει τινὶ
interval the age we-take the(-thing) not by-motion some
μηδὲ ἡλίου φορᾷ μεριζόμενον καὶ μετρούμενον, ὅπερ ὁ
nor of-(the)-sun by-course divided and measured which the
χρόνος. πῶς οὖν οὐ συνάναρχα, εἰ συναίδια; ὅτι ἐκεῖθεν, εἰ
time how then not co-unoriginate if co-eternal because from-there if
καὶ μὴ μετ᾽ ἐκεῖνο. τὸ μὲν γὰρ ἄναρχον, καὶ ἀίδιον·
even not after that the(-thing) indeed for unoriginate also (is)-eternal
τὸ ἀίδιον δέ, οὐ πάντως ἄναρχον, ἕως ἂν εἰς ἀρχὴν
the eternal but not altogether unoriginate as-long-as — to (a)-beginning
ἀναφέρηται τὸν πατέρα. οὐκ ἄναρχα οὖν τῷ αἰτίῳ· δῆλον
it-is-referred the father not unoriginate then in-the cause clear
δὲ τὸ αἴτιον ὡς οὐ πάντως πρεσβύτερον τῶν ὧν
and the cause that not altogether older than-the(-things) of-which
αἴτιον· οὐδὲ γὰρ τοῦ φωτὸς ἥλιος. καὶ ἄναρχά πως
(it-is)-cause not-even for than-the light (the)-sun and unoriginate somehow

τῷ χρόνῳ, κἂν σὺ μορμολύττῃ τοὺς ἁπλουστέρους· οὐ
in-the time even-if you frighten the simpler(-ones) not
γὰρ ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος.
for under time the(-things) from which the time
Πῶς οὖν οὐκ ἐμπαθὴς ἡ γέννησις; ὅτι ἀσώματος. εἰ 4
how then not passionate the generation because bodiless if
γὰρ ἡ ἐνσώματος ἐμπαθής, ἀπαθὴς ἡ ἀσώματος. ἐγὼ
for the bodily (is)-passionate passionless the bodiless(-one) I
δέ σε ἀντερήσομαι· πῶς θεός, εἰ κτίσμα; οὐ γὰρ θεὸς
but you will-ask-in-turn how God if creature not for God
τὸ κτιζόμενον· ἵνα μὴ λέγω, ὅτι κἀνταῦθα πάθος, ἂν
the(-thing) created that not I-may-say that here-too passion if
σωματικῶς λαμβάνηται, οἷον χρόνος, ἔφεσις, ἀνατύπωσις,
bodily it-be-taken such-as time desire imagining
φροντίς, ἐλπίς, λύπη, κίνδυνος, ἀποτυχία, διόρθωσις· ἃ
care hope grief danger failure correction which
πάντα καὶ πλείω τούτων περὶ τὴν κτίσιν, ὡς πᾶσιν εὔδηλον.
all and more than-these about the creation as to-all (is)-evident
θαυμάζω δέ, ὅτι μὴ καὶ τοῦτο τολμᾷς, συνδυασμούς τινας
I-wonder and that not also this you-dare unions some
ἐννοεῖν, καὶ χρόνους κυήσεως, καὶ κινδύνους ἀμβλώσεως,
to-conceive and times of-pregnancy and dangers of-miscarriage
ὡς οὐδὲ γεννᾷν ἐγχωροῦν, εἰ μὴ οὕτω γεγέννηκεν· ἢ πάλιν
as not-even to-beget being-possible if not thus he-has-begotten or again
πτηνῶν τινὰς καὶ χερσαίων καὶ ἐνύδρων γεννήσεις
of-birds some and of-land(-creatures) and water(-creatures) births
ἀπαριθμούμενος, τούτων τινὶ τῶν γεννήσεων ὑπάγειν τὴν
enumerating of-these to-some of-the births to-subject the
θείαν καὶ ἀνεκλάλητον, ἢ καὶ τὸν υἱὸν ἀναιρεῖν ἐκ τῆς
divine and ineffable(-one) or even the son to-destroy from the
καινῆς ὑποθέσεως. καὶ οὐδ' ἐκεῖνο δύνασαι συνιδεῖν, ὅτι
new hypothesis and not-even that you-are-able to-perceive that

ᾧ διάφορος ἡ κατὰ σάρκα γέννησις, — ποῦ γὰρ
to-whom different the according-to flesh birth where for
ἐν τοῖς σοῖς ἔγνως θεοτόκον παρθένον; — τούτῳ
in the your(-things) did-you-know God-bearing virgin to-him
καὶ ἡ πνευματικὴ γέννησις ἐξαλλάττουσα· μᾶλλον δέ,
also the spiritual birth differing rather and
ᾧ τὸ εἶναι μὴ ταὐτόν, τούτῳ καὶ τὸ γεννᾶν διάφορον.
to-whom the to-be not the-same to-him also the to-beget (is)-different
5 Τίς οὖν ἐστὶ πατὴρ οὐκ ἠργμένος; ὅς τις οὐδὲ τοῦ εἶναι
who then is (a)-father not having-begun who ever not-even of-the to-be
ἤρξατο· ᾧ δὲ τὸ εἶναι ἤρξατο, τούτῳ καὶ τὸ εἶναι
began to-whom and the to-be began to-him also the to-be
πατρί. οὔκουν πατὴρ ὕστερον, οὐ γὰρ ἤρξατο· καὶ πατὴρ
father not-then father later not for he-began and father
κυρίως, ὅτι μὴ καὶ υἱός· ὥσπερ καὶ υἱὸς κυρίως, ὅτι μὴ
properly because not also son as also son properly because not
καὶ πατήρ. τὰ γὰρ ἡμέτερα οὐ κυρίως, ὅτι καὶ ἄμφω·
also father the for our(-relations) not properly because also both
οὐ γὰρ τόδε μᾶλλον ἢ τόδε· καὶ ἐξ ἀμφοῖν ἡμεῖς, οὐχ
not for this rather than that and from both we not
ἑνός, ὥστε μερίζεσθαι, καὶ κατ᾽ ὀλίγον ἄνθρωποι, καὶ ἴσως
of-one so-that to-be-divided and by little men and perhaps
οὐδὲ ἄνθρωποι, καὶ οἷοι μὴ τεθελήμεθα, καὶ ἀφιέντες
not-even men and such-as not we-were-wished and leaving
καὶ ἀφιέμενοι, ὡς μόνας τὰς σχέσεις λείπεσθαι ὀρφανὰς
and left so-that only the relations to-be-left bereft
τῶν πραγμάτων. ἀλλὰ τὸ ἐγέννησε, φησίν, αὐτό, καὶ
of-the realities but the begot he-says itself and
τὸ γεγέννηται, τί ἄλλο, ἢ ἀρχὴν εἰσάγει γεννήσεως;
the has-been-begotten what else than (a)-beginning introduces of-generation
τί οὖν ἂν μηδὲ τοῦτο λέγωμεν, ἀλλ᾽ ἦν ἀπ᾽ ἀρχῆς
what then if not-even this we-say but was from (the)-beginning

γεγεννημένος, ἵνα σου ῥᾳδίως φύγωμεν τὰς περιέργους
begotten that your easily we-may-escape the meddlesome
ἐνστάσεις καὶ φιλοχρόνους; ἆρα γραφὴν ἀποίσεις καθ' ἡμῶν,
objections and time-loving is-it scripture will-you-bring against us
ὡς παραχαραττόντων τι τῆς γραφῆς καὶ τῆς ἀληθείας;
as falsifying something of-the scripture and of-the truth
ἢ πᾶσιν εὔδηλον, ὅτι πολλὰ τῶν χρονικῶς λεγομένων
or to-all (is)-evident that many of-the(-things) temporally said
ἐνηλλαγμένως τοῖς χρόνοις προφέρεται, καὶ μάλιστα παρὰ
interchangeably in-the tenses are-put-forward and especially in
τῇ συνηθείᾳ τῆς γραφῆς, οὐχ ὅσα τοῦ παρεληλυθότος
the usage of-the scripture not as-many-as of-the past
χρόνου μόνον ἐστίν, ἢ τοῦ παρόντος, ἀλλὰ καὶ ὅσα
time only are or of-the present but also as-many-as
τοῦ μέλλοντος; ὡς τό· Ἵνα τί ἐφρύαξαν ἔθνη; οὔπω
of-the future as the(-saying) for what raged nations not-yet
γὰρ ἐφρυάξαντο· καί, Ἐν ποταμῷ διελεύσονται ποδί· ὅπερ
for they-had-raged and in (the)-river they-will-pass on-foot which
ἐστί, διαβεβήκασι. καὶ μακρὸν ἂν εἴη πάσας ἀπαριθμεῖν
is they-have-crossed and long — would-be all to-enumerate
τὰς τοιαύτας φωνάς, αἷ τοῖς φιλοπόνοις τετήρηνται.
the such expressions which by-the diligent have-been-observed
Τοῦτο μὲν δὴ τοιοῦτον. οἷον δὲ αὐτῶν κἀκεῖνο, ὡς 6
this indeed truly (is)-such such and of-them that(-one)-too as
λίαν δύσερι καὶ ἀναίσχυντον· βουληθείς, φασι, γεγέννηκε
very contentious and shameless having-willed they-say he-has-begotten
τὸν υἱόν, ἢ μὴ βουλόμενος. εἶτα δεσμοῦσιν, ὡς οἴονται,
the son or not willing then they-bind as they-think
ἀμφοτέρωθεν ἄμμασιν, οὐκ ἰσχυροῖς, ἀλλὰ καὶ λίαν σαθροῖς.
on-both-sides with-knots not strong but even very rotten
εἰ μὲν γὰρ οὐ θέλων, φασί, τετυράννηται. καὶ τίς ὁ
if indeed for not willing they-say he-has-been-coerced and who the(-one)

τυραννήσας; καὶ πῶς ὁ τυραννηθεὶς θεός; εἰ δὲ θέλων,
having-coerced and how the(-one) coerced God if but willing
θελήσεως υἱὸς ὁ υἱός· πῶς οὖν ἐκ τοῦ πατρός; καὶ καινήν
of-will son the son how then from the father and new
τινα μητέρα τὴν θέλησιν ἀντὶ τοῦ πατρὸς ἀναπλάττουσιν.
some mother the will instead-of the father they-fashion
ἓν μὲν οὖν τοῦτο χαρίεν αὐτῶν, ἂν τοῦτο λέγωσιν, ὅτι
one indeed then this neat(-thing) of-them if this they-say that
τοῦ πάθους ἀποστάντες ἐπὶ τὴν βούλησιν καταφεύγουσιν·
from-the passion having-stood-away to the wish they-flee
οὐ γὰρ πάθος ἡ βούλησις. δεύτερον δὲ ἴδωμεν τὸ ἰσχυρὸν
not for passion the wish second and let-us-see the strong(-point)
αὐτῶν, ὅ τι λέγουσιν. ἄριστον δὲ αὐτοῖς συμπλακῆναι
their what — they-say best and with-them to-grapple
πρότερον ἐγγυτέρω. σὺ δὲ αὐτὸς ὁ λέγων εὐχερῶς ὅ
first nearer you and yourself the(-one) saying readily what
τι ἂν ἐθέλῃς, ἐκ θέλοντος ὑπέστης τοῦ σοῦ πατρός,
— — you-wish from willing did-you-come-to-be the your father
ἢ μὴ θέλοντος; εἰ μὲν γὰρ ἐξ οὐ θέλοντος, τετυράννηται.
or not willing if indeed for from not willing he-has-been-coerced
τῆς βίας· καὶ τίς ὁ τυραννήσας αὐτόν; οὐ γὰρ δὴ
of-the force and who the(-one) having-coerced him not for indeed
τὴν φύσιν ἐρεῖς· ἐκείνη γὰρ ἔχει καὶ τὸ σωφρονεῖν. εἰ δὲ
the nature you-will-say that for has also the to-be-temperate if and
θέλοντος, ἀπόλωλέ σοι δι' ὀλίγας συλλαβὰς ὁ πατήρ.
willing has-perished for-you because-of few syllables the father
θελήματος γὰρ υἱός, ἀλλ' οὐ πατρὸς ἀναπέφηνας. ἀλλ' ἐπὶ
of-will for son but not of-father you-have-appeared but to
τὸν θεὸν μέτειμι καὶ τὰ κτίσματα, καὶ τὸ σὸν ἐρώτημα
— God I-pass and the creatures and the your question
προσάγω τῇ σῇ σοφίᾳ. θέλων ὑπέστησε τὰ πάντα, ἢ
I-apply to-the your wisdom willing did-he-establish the all(-things) or

βιασθείς; εἰ μὲν βιασθείς, κἀνταῦθα ἡ τυραννίς,
having-been-forced if indeed having-been-forced here-too the tyranny
καὶ ὁ τυραννήσας. εἰ δὲ βουλόμενος, ἐστέρηται τοῦ
and the(-one) having-coerced if and wishing are-deprived —
θεοῦ καὶ τὰ κτίσματα, καὶ σὺ πρὸ τῶν ἄλλων, ὁ
of-God also the creatures and you before the others the(-one)
τοιούτους ἀνευρίσκων λογισμοὺς καὶ τοιαῦτα σοφιζόμενος.
such discovering arguments and such sophisticating
θελήσει γὰρ μέσῃ τοῦ κτίστου διατειχίζεται. ἀλλ' ἕτερον,
by-will for middle from-the creator they-are-walled-off but other
οἶμαι, θέλων ἐστὶ καὶ θέλησις, γεννῶν καὶ γέννησις, λέγων
I-think willing is and will begetting and generation speaking
καὶ λόγος, εἰ μὴ μεθύομεν. τὰ μὲν ὁ κινούμενος,
and speech if not we-are-drunk the(-ones) indeed the(-one) being-moved
τὰ δὲ οἷον ἡ κίνησις. οὔκουν θελήσεως τὸ
the(-others) and as-it-were the motion not-then of-will the(-thing)
θεληθέν· οὐδὲ γὰρ ἕπεται πάντως· οὐδὲ τὸ γεννηθὲν
willed not-even for follows altogether nor the(-thing) begotten
γεννήσεως, οὐδὲ τὸ ἀκουσθὲν ἐκφωνήσεως, ἀλλὰ
of-generation nor the(-thing) heard of-utterance but
τοῦ θέλοντος, καὶ τοῦ γεννήσαντος, καὶ τοῦ
of-the(-one) willing and of-the(-one) having-begotten and of-the(-one)
λέγοντος. τὰ τοῦ θεοῦ δὲ καὶ ὑπὲρ πάντα ταῦτα,
speaking the(-things) — of-God and also beyond all these
ᾧ γέννησίς ἐστιν ἴσως ἡ τοῦ γεννᾶν θέλησις, ἀλλ'
to-whom generation is perhaps the of-the to-beget will but
οὐδὲν μέσον, εἴ γε καὶ τοῦτο δεξώμεθα ὅλως, ἀλλὰ
nothing between if at-least also this we-accept at-all but
μὴ καὶ θελήσεως κρείττων ἡ γέννησις.
lest even than-will greater the generation

Gregory turns the dilemma of will on the Father himself. How the Son was begotten is beyond us, who do not know our own birth; let it be honored by silence. Whether the Father begot one existing or not is a sophism like the liar's riddle. Unbegottenness and begottenness differ, not the nature that has them; unbegottenness says what God is not, and the begotten too is God.

7 Βούλει τι προσπαίξω καὶ τὸν πατέρα; παρὰ σοῦ
do-you-wish something I-may-jest-in-turn also the father from you
γὰρ ἔχω τὰ τοιαῦτα τολμᾷν. θέλων θεὸς ὁ πατήρ, ἢ
for I-have the such(-things) to-dare willing God the father or
μὴ θέλων. καὶ ὅπως ἀποφεύξῃ τὸ σὸν περιδέξιον, εἰ
not willing and how will-you-escape the your very-clever(-dilemma) if
μὲν δὴ θέλων, πότε τοῦ θέλειν ἠργμένος; οὐ γὰρ πρὶν
indeed truly willing when of-the to-will having-begun not for before
εἶναι· οὐδὲ γὰρ ἦν τι πρότερον. ἢ τὸ μὲν αὐτοῦ
to-be not-even for was anything prior or the(-one) indeed of-him
θελῆσαν, τὸ δὲ θεληθέν; μεριστὸς οὖν. πῶς δὲ οὐ
having-willed the(-other) and willed divisible then how and not
θελήσεως καὶ οὗτος, κατὰ σέ, πρόβλημα; εἰ δὲ οὐ
of-will also this(-one) according-to you (an)-emission if and not
θέλων, τί τὸ βιασάμενον εἰς τὸ εἶναι; καὶ πῶς θεός,
willing what the(-thing) having-forced into the to-be and how God
εἰ βεβίασται, καὶ ταῦτα οὐκ ἄλλο τι ἢ αὐτὸ τὸ
if he-has-been-forced and this(-thing) not other anything than itself the
εἶναι θεός; πῶς οὖν γεγέννηται; πῶς ἔκτισται, εἴπερ
to-be God how then has-he-been-begotten how has-he-been-created if-indeed
ἔκτισται κατὰ σέ; καὶ γὰρ καὶ τοῦτο τῆς αὐτῆς
he-has-been-created according-to you and for also this of-the same
ἀπορίας. τάχα ἂν εἴποις, βουλήσει καὶ λόγῳ. ἀλλ' οὔπω
perplexity perhaps — you-might-say by-will and by-word but not-yet

λέγεις τὸ πᾶν. πῶς γὰρ ἔργου δύναμιν ἔσχεν ἡ βούλησις
you-say the all how for of-work power had the will
καὶ ὁ λόγος; ἔτι λείπεται λέγειν. οὐ γὰρ οὕτως ἄνθρωπος.
and the word still it-remains to-say not for thus (a)-man
Πῶς οὖν γεγέννηται; οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ 8
how then has-he-been-begotten not — would-be great the generation if
σοὶ κατελαμβάνετο, ὃς οὐδὲ τὴν ἰδίαν ἐπίστῃ γέννησιν, ἢ
by-you it-were-comprehended who not-even the own you-know generation or
μικρόν τι ταύτης κατείληφας, καὶ ὅσον αἰσχύνῃ
little something of-it you-have-comprehended and as-much-as you-are-ashamed
λέγειν· ἔπειτα οἴει τὸ πᾶν γινώσκειν; πολλὰ ἂν
to-say then do-you-think the all to-know much —
κάμοις πρότερον, ἢ εὕροις λόγους συμπήξεως,
you-would-toil before than you-would-find (the)-principles of-compacting
μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα δεσμόν, νοῦ
of-forming of-manifesting of-soul with body bond of-mind
πρὸς ψυχήν, λόγου πρὸς νοῦν, κίνησιν, αὔξησιν, τροφῆς
with soul of-reason with mind motion growth of-food
ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν, τἄλλα ἐξ ὧν
assimilation sensation memory recollection the-rest from which
συνέστηκας· καὶ τίνα μὲν τοῦ συναμφοτέρου ψυχῆς
you-consist and which(-things) indeed of-the compound of-soul
καὶ σώματος, τίνα δὲ τὰ μεμερισμένα, τίνα
and of-body which(-things) and the(-things) divided which(-things)
δὲ ἃ παρ' ἀλλήλων λαμβάνουσιν· ὧν γὰρ ὕστερον ἡ
and which from each-other they-receive of-which for later the
τελείωσις, τούτων οἱ λόγοι μετὰ τῆς γεννήσεως. εἰπὲ τίνες·
perfection of-these the principles with the generation tell which
καὶ μηδὲ τότε φιλοσοφήσῃς θεοῦ γέννησιν· οὐ γὰρ ἀσφαλές.
and not-even then philosophize of-God generation not for safe
εἰ μὲν γὰρ τὴν σὴν γινώσκεις, οὐ πάντως καὶ τὴν τοῦ
if indeed for the your you-know not altogether also the —

θεοῦ· εἰ δὲ μηδὲ τὴν σήν, πῶς τὴν τοῦ θεοῦ; ὅσῳ γὰρ
of-God if and not-even the yours how the — of-God by-as-much-as for
θεὸς ἀνθρώπου δυστεκμαρτότερος, τοσούτῳ καὶ τῆς σῆς
God than-man harder-to-trace by-so-much also than-the your
γεννήσεως ἀληπτοτέρα ἡ ἄνω γέννησις. εἰ δὲ ὅτι μή
generation more-incomprehensible the above generation if and because not
σοι κατείληπται, διὰ τοῦτο οὐδὲ γεγέννηται, ὥρα
by-you it-has-been-comprehended because-of this not-even it-has-been-begotten time
σοι πολλὰ διαγράφειν τῶν ὄντων, ἃ μὴ κατείληφας,
for-you many to-strike-out of-the beings which not you-have-comprehended
καὶ πρό γε ἁπάντων τὸν θεὸν αὐτόν· οὐδὲ γὰρ ὅ τι
and before at-least of-all — God himself not-even for what —
ποτέ ἐστιν εἰπεῖν ἔχεις, καὶ εἰ λίαν τολμηρὸς εἶ, καὶ τὰ
ever is to-say you-can even if very daring you-are and in-the
περιττὰ μεγαλόψυχος. κατάβαλέ σου τὰς ῥεύσεις, καὶ
excessive(-things) magnanimous throw-down of-you the flowings and
τὰς διαιρέσεις, καὶ τὰς τομάς, καὶ τὸ ὡς περὶ σώματος
the divisions and the cuttings and the as about (a)-body
διανοεῖσθαι τῆς ἀσωμάτου φύσεως· καὶ τάχα ἂν ἄξιόν
to-think of-the bodiless nature and perhaps — worthy
τι διανοηθείης θεοῦ γεννήσεως. πῶς γεγέννηται; πάλιν
something you-might-think of-God generation how has-be-been-begotten again
γὰρ τὸ αὐτὸ φθέγξομαι δυσχεραίνων. θεοῦ γέννησις σιωπῇ
for the same I-will-utter being-vexed of-God generation by-silence
τιμάσθω. μέγα σοι τὸ μαθεῖν, ὅτι γεγέννηται. τὸ δὲ
let-it-be-honored great for-you the to-learn that he-has-been-begotten the and
πῶς, οὐδὲ ἀγγέλοις ἐννοεῖν, μὴ ὅτι γέ σοι νοεῖν
how not-even to-angels to-conceive not that at-least to-you to-understand
συγχωρήσομεν. βούλει παραστήσω τὸ πῶς; ὡς οἶδεν
we-will-grant do-you-wish I-shall-present the how as knows

ὁ γεννήσας πατήρ, καὶ ὁ γεννηθεὶς υἱός. τὸ δὲ ὑπὲρ
the having-begotten father and the begotten son the and beyond
ταῦτα νέφει κρύπτεται, τὴν σὴν διαφεῦγον ἀμβλυωπίαν.
these by-cloud is-hidden the your escaping dim-sightedness
Ὄντα οὖν γεγέννηκεν, ἢ οὐκ ὄντα; τῶν ληρημάτων· περὶ 9
being then has-he-begotten or not being of-the drivelings about
ἐμὲ καὶ σὲ ταῦτα, οἳ τὸ μέν τι ἦμεν, ὥσπερ
me and you these(-things) who the(-thing) indeed some we-were as
ἐν τῇ ὀσφύι τοῦ Ἀβραὰμ ὁ Λευί, τὸ δὲ γεγόναμεν·
in the loin — of-Abraham — Levi the(-other) and we-have-come-to-be
ὥστε ἐξ ὄντων τρόπον τινὰ τὸ ἡμέτερον, καὶ οὐκ
so-that from beings (in)-manner some the our and not
ὄντων· ἐναντίως περὶ τὴν ἀρχέγονον ὕλην ὑποστᾶσαν
beings oppositely about the primordial matter having-subsisted
σαφῶς ἐξ οὐκ ὄντων, κἄν τινες ἀγένητον ἀναπλάττωσιν.
clearly from not beings even-if some unoriginate may-fashion
ἐνταῦθα δὲ σύνδρομον τῷ εἶναι τὸ γεγεννῆσθαι, καὶ
here but concurrent with-the to-be the to-have-been-begotten and
ἀπ᾽ ἀρχῆς· ὥστε ποῦ θήσεις τὸ ἀμφίκρημνον τοῦτο
from beginning so-that where will-you-set the precipitous-on-both-sides this
ἐρώτημα; τί γὰρ τοῦ ἀπ᾽ ἀρχῆς πρεσβύτερον, ἵν᾽ ἐκεῖ
question what for than-the from beginning older that there
θῶμεν τὸ εἶναί ποτε τοῦ υἱοῦ, ἢ τὸ μὴ εἶναι; ἀμφοτέρως
we-may-set the to-be once of-the son or the not to-be both-ways
γὰρ τὸ ἀπ᾽ ἀρχῆς λυθήσεται. εἰ μή σοι καὶ ὁ πατήρ,
for the from beginning will-be-undone if not for-you also the father
πάλιν ἐρωτώντων ἡμῶν, ἐξ ὄντων, ἢ ἐξ οὐκ ὄντων,
again asking us from beings or from not beings
κινδυνεύσειεν ἢ δὶς εἶναι, ὁ μὲν προών, ὁ δὲ
may-run-the-risk or twice to-be the(-one) indeed pre-existing the(-other) and
ὤν, ἢ ταὐτὸν τῷ υἱῷ παθεῖν, ἐξ οὐκ ὄντων εἶναι,
being or the-same with-the son to-suffer from not beings to-be

διὰ τὰ σὰ τῶν ἐρωτημάτων παίγνια, καὶ τὰς ἐκ
because-of the your of-the questions toys and the from
ψάμμων οἰκοδομάς, αἱ μηδὲ αὔραις ἵστανται. ἐγὼ μὲν
sands buildings which not-even to-breezes stand I indeed
οὖν οὐδέτερον τούτων δέχομαι, καὶ τὴν ἐρώτησίν φημι τὸ
then neither of-these I-accept and the question I-say the
ἄτοπον ἔχειν, οὐχὶ τὸ ἄπορον τὴν ἀπάντησιν. εἰ δέ σοι
absurdity to-have not the perplexity the answer if and to-you
φαίνεται ἀναγκαῖον εἶναι τὸ ἕτερον ἀληθεύειν ἐπὶ παντός,
it-seems necessary to-be the one to-be-true in every(-case)
κατὰ τὰς σὰς διαλεκτικὰς ὑπολήψεις, δέξαι μού τι
according-to the your dialectical assumptions accept of-me some
μικρὸν ἐρώτημα. ὁ χρόνος ἐν χρόνῳ, ἢ οὐκ ἐν χρόνῳ; εἰ
small question the time in time or not in time if
μὲν οὖν ἐν χρόνῳ, τίνι τούτῳ; καὶ τί παρὰ τοῦτον ὄντι;
indeed then in time in-what this and what beside this being
καὶ πῶς περιέχοντι; εἰ δὲ οὐκ ἐν χρόνῳ, τίς ἡ περιττὴ
and how containing if and not in time what the excessive
σοφία χρόνον εἰσάγειν ἄχρονον; τοῦ δέ, Νῦν ἐγὼ ψεύδομαι,
wisdom time to-bring-in timeless of-the and now I lie
δὸς τὸ ἕτερον, ἢ ἀληθεύεσθαι μόνον, ἢ ψεύδεσθαι·
grant the one either to-be-true only or to-lie
οὐ γὰρ ἀμφότερα δώσομεν. ἀλλ᾽ οὐκ ἐνδέχεται. ἢ
not for both we-will-grant but not it-is-possible either
γὰρ ψευδόμενος ἀληθεύσει, ἢ ἀληθεύων ψεύσεται· πᾶσα
for lying he-will-speak-truth or speaking-truth he-will-lie all
ἀνάγκη. τί οὖν θαυμαστόν, ὥσπερ ἐνταῦθα συμβαίνει τὰ
necessity what then wonderful as here happen the
ἐναντία, οὕτως ἐκεῖσε ἀμφότερα ψεύδεσθαι, καὶ οὕτω σοι
opposites thus there both to-be-false and thus for-you
τὸ σοφὸν ἠλίθιον ἀναφανήσεται; ἓν ἔτι μοι λῦσον τῶν
the wise silly will-appear one still for-me solve of-the

αἰνιγμάτων· σεαυτῷ δὲ γεννωμένῳ παρῆς; πάρει δὲ
riddles to-yourself and being-begotten were-you-present are-you-present and
νῦν; ἢ οὐδέτερον; εἰ μὲν γὰρ καὶ παρῆς, καὶ πάρει,
now or neither if indeed for both you-were-present and you-are-present
ὡς τίς, καὶ τίνι; καὶ πῶς ὁ εἷς ἄμφω γεγόνατε; εἰ δὲ
as who and to-whom and how the one both have-you-become if and
μηδέτερον τῶν εἰρημένων, πῶς σεαυτοῦ χωρίζῃ; καὶ τίς
neither of-the said(-things) how from-yourself are-you-separated and what
ἡ αἰτία τῆς διαζεύξεως; ἀλλ' ἀπαίδευτον περὶ τοῦ ἑνός,
the cause of-the disjunction but ignorant about the one
εἰ ἑαυτῷ πάρεστιν, ἢ μή, πολυπραγμονεῖν. ταῦτα
whether to-himself he-is-present or not to-busy-oneself these(-things)
γὰρ ἐπ' ἄλλων, οὐχ ἑαυτοῦ λέγεται. ἀπαιδευτότερον, εὖ
for of others not of-oneself are-said more-ignorant well
ἴσθι, τὸ ἀπ' ἀρχῆς γεγεννημένον, εἰ ἦν πρὸ τῆς
know the from beginning begotten whether it-was before the
γεννήσεως, ἢ οὐκ ἦν, διευθύνεσθαι. οὗτος γὰρ περὶ
generation or not it-was to-examine this for about
τῶν χρόνῳ διαιρετῶν ὁ λόγος.
the(-things) by-time divisible the argument
Ἀλλ' οὐ ταὐτόν, φησι, τὸ ἀγέννητον καὶ τὸ γεννητόν. εἰ δὲ 10
but not the-same he-says the unbegotten and the begotten if and
τοῦτο, οὐδὲ ὁ υἱὸς τῷ πατρὶ ταὐτόν. ὅτι μὲν φανερῶς
this not-even the son with-the father the-same that indeed clearly
ὁ λόγος οὗτος ἐκβάλλει τὸν υἱὸν τῆς θεότητος, ἢ τὸν
the argument this casts-out the son from-the godhead or the
πατέρα, τί χρὴ λέγειν; εἰ γὰρ τὸ ἀγέννητον οὐσία θεοῦ,
father what must (one)-say if for the unbegotten (the)-substance of-God
τὸ γεννητὸν οὐκ οὐσία· εἰ δὲ τοῦτο, οὐκ ἐκεῖνο. τίς ἀντερεῖ
the begotten not substance if and this not that what will-oppose
λόγος; ἑλοῦ τοίνυν τῶν ἀσεβειῶν ὁποτέραν βούλει, ὦ κενὲ
argument choose therefore of-the impieties whichever you-wish O empty

θεολόγε, εἴπερ ἀσεβεῖν πάντως ἐσπούδακας. ἔπειτα πῶς
theologian if-indeed to-be-impious altogether you-are-eager then how
οὐ ταὐτὸν λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; εἰ μὲν
not the-same do-you-say the unbegotten and the begotten if indeed
τὸ μὴ ἐκτισμένον καὶ ἐκτισμένον, κἀγὼ δέχομαι. οὐ γὰρ
the not created and created I-too accept not for
ταὐτὸν τῇ φύσει τὸ ἄναρχον καὶ τὸ κτιζόμενον. εἰ δὲ τὸ
the-same in-the nature the beginningless and the being-created if and the
γεγεννηκὸς καὶ τὸ γεγεννημένον, οὐκ ὀρθῶς λέγεται. ταὐτὸν
having-begotten and the begotten not rightly it-is-said the-same
γὰρ εἶναι πᾶσα ἀνάγκη. αὕτη γὰρ φύσις γεννήματος,
for to-be all necessity this for (the)-nature of-offspring
ταὐτὸν εἶναι τῷ γεγεννηκότι κατὰ τὴν φύσιν. ἢ οὕτω
the-same to-be with-the having-begotten according-to the nature or thus
πάλιν· πῶς λέγεις τὸ ἀγέννητον καὶ τὸ γεννητόν; εἰ μὲν
again how do-you-say the unbegotten and the begotten if indeed
τὴν ἀγεννησίαν αὐτὴν καὶ τὴν γέννησιν, οὐ ταὐτόν· εἰ
the unbegottenness itself and the generation not the-same if
δὲ οἷς ὑπάρχει ταῦτα, πῶς οὐ ταὐτόν; ἐπεὶ καὶ τὸ
and to-whom belong these(-things) how not the-same since also the
ἄσοφον καὶ τὸ σοφὸν ἀλλήλοις μὲν οὐ ταὐτά, περὶ
unwise and the wise to-each-other indeed not the-same(-things) about
ταὐτὸν δέ, τὸν ἄνθρωπον· καὶ οὐκ οὐσίας τέμνει, περὶ δὲ
the-same but the man and not substances divide about but
τὴν αὐτὴν οὐσίαν τέμνεται. ἢ καὶ τὸ ἀθάνατον, καὶ τὸ
the same substance are-divided or also the immortal and the
ἄκακον, καὶ τὸ ἀναλλοίωτον οὐσία θεοῦ. ἀλλ' εἰ τοῦτο,
guileless and the unchangeable (the)-substance of-God but if this
πολλαὶ οὐσίαι θεοῦ, καὶ οὐ μία. ἢ σύνθετον ἐκ τούτων
many substances of-God and not one or composite from these(-things)
τὸ θεῖον. οὐ γὰρ ἀσυνθέτως ταῦτα, εἴπερ οὐσίαι.
the divine not for without-composition these(-things) if-indeed substances

Ταῦτα μὲν οὔ φασι, κοινὰ γὰρ καὶ ἄλλων. ὃ δὲ μόνου 11
these(-things) indeed not they-say common for also of-others what and of-only
θεοῦ καὶ ἴδιον, τοῦτο οὐσία. οὐκ ἂν μὲν συγχωρήσαιεν
God and proper this (the)-substance not — indeed they-would-grant
εἶναι μόνου θεοῦ τὸ ἀγέννητον οἱ καὶ τὴν ὕλην καὶ τὴν
to-be of-only God the unbegotten who both the matter and the
ἰδέαν συνεισάγοντες ὡς ἀγέννητα. τὸ γὰρ Μανιχαίων
form introducing-together as unbegotten(-things) the for of-Manichaeans
πορρωτέρω ῥίψωμεν σκότος. πλὴν ἔστω μόνου θεοῦ. τί
farther let-us-cast darkness however let-it-be of-only God what
δὲ ὁ Ἀδάμ; οὐ μόνος πλάσμα θεοῦ; καὶ πάνυ, φήσεις.
and — Adam not alone (a)-thing-molded of-God and very-much you-will-say
ἆρ᾽ οὖν καὶ μόνος ἄνθρωπος; οὐδαμῶς. τί δή ποτε; ὅτι
is-it then also alone (a)-man by-no-means why indeed ever because
μὴ ἀνθρωπότης ἡ πλάσις· καὶ γὰρ τὸ γεννηθὲν ἄνθρωπος.
not (a)-humanity the molding and for the begotten (a)-man
οὕτως οὐδὲ τὸ ἀγέννητον μόνον θεός, εἰ καὶ μόνου
thus not-even the unbegotten alone God if even of-only
πατρός, ἀλλὰ δέξαι καὶ τὸ γεννητὸν εἶναι θεόν. ἐκ θεοῦ
(the)-father but accept also the begotten to-be God from God
γάρ, εἰ καὶ λίαν εἶ φιλαγέννητος. ἔπειτα πῶς οὐσίαν
for if even very you-are unbegotten-loving then how (the)-substance
θεοῦ λέγεις, οὐ τὴν τοῦ ὄντος θέσιν, ἀλλὰ τὴν τοῦ μὴ
of-God do-you-say not the of-the being positing but the of-the not
ὄντος ἀναίρεσιν; τὸ γὰρ μὴ ὑπάρχειν αὐτῷ γέννησιν ὁ
being removal the for not to-belong to-him generation the
λόγος δηλοῖ, οὐχ ὃ τὴν φύσιν ἐστὶ παρίστησιν, οὐδ᾽
word shows not what the nature is it-presents nor
ὃ ὑπάρχει τὸ μὴ ἔχον γέννησιν. τίς οὖν οὐσία
what belongs the(-thing) not having generation what then (the)-substance
θεοῦ; τῆς σῆς ἀπονοίας τοῦτο λέγειν, ὃς πολυπραγμονεῖς
of-God of-the your madness this to-say who busy-yourself

καὶ τὴν γέννησιν. ἡμῖν δὲ μέγα, κἂν εἴποτε καὶ εἰς
also the generation to-us but great even-if ever and into
ὕστερον τοῦτο μάθομεν, λυθέντος ἡμῖν τοῦ ζόφου
later this we-may-learn having-been-dissolved for-us the gloom
καὶ τῆς παχύτητος, ὡς ἡ τοῦ ἀψευδοῦς ὑπόσχεσις. τοῦτο
and the thickness as the of-the unlying promise this
μὲν οὖν καὶ νοείσθω καὶ ἐλπιζέσθω τοῖς ἐπὶ τούτῳ
indeed then both let-it-be-understood and let-it-be-hoped by-those for this
καθαιρομένοις. ἡμεῖς δὲ τοσοῦτον εἰπεῖν θαρρήσομεν, ὅτι εἰ
being-purified we and so-much to-say we-will-dare that if
καὶ μέγα τῷ πατρὶ τὸ μηδαμόθεν ὡρμῆσθαι, οὐκ ἔλαττον
even great for-the father the from-nowhere to-have-started not less
τῷ υἱῷ τὸ ἐκ τοιούτου πατρός. τῆς τε γὰρ τοῦ ἀναιτίου
for-the son the from such (a)-father of-the both for of-the uncaused
δόξης μετέχοι ἄν, ὅτι ἐκ τοῦ ἀναιτίου, καὶ πρόσεστι
glory he-would-partake — because from the uncaused and is-added
τὸ τῆς γεννήσεως, πρᾶγμα τοσοῦτον καὶ οὕτω σεβάσμιον
the of-the generation matter so-great and thus venerable
τοῖς μὴ πάντῃ χαμαιπετέσι καὶ ὑλικοῖς τὴν διάνοιαν.
to-those not wholly groveling and material the mind

If unbegotten were God's substance, the Son, one in substance with the Father, would be begotten-unbegotten, and other absurdities follow. Nor must what began cease: the soul and the angels began and will not cease. The Son is not God in name only, as the land dog and the sea dog share a name. Greater by cause is not greater by nature, and Father names a relation, not a substance or an activity.

Ἀλλ᾽ εἰ ταὐτὸν τῷ πατρί, φασιν, ὁ υἱὸς κατ᾽ οὐσίαν, 12
but if the-same with-the father they-say the son in substance
ἀγέννητον δὲ ὁ πατήρ, ἔσται τοῦτο καὶ ὁ υἱός. καλῶς,
unbegotten and the father will-be this also the son well
εἴπερ οὐσία θεοῦ τὸ ἀγέννητον, ἵν᾽ ᾖ τις καινὴ
if-indeed (the)-substance of-God the unbegotten that there-may-be some new
μίξις, γεννητοαγέννητον. εἰ δὲ περὶ οὐσίαν ἡ διαφορά, τί
mixture begotten-unbegotten if and about substance the difference what
τοῦτο ὡς ἰσχυρὸν λέγεις; ἢ καὶ σὺ πατὴρ τοῦ πατρός, ἵνα
this as strong do-you-say or also you (the)-father of-the father that
μηδενὶ λείπῃ τοῦ σοῦ πατρός, ἐπειδὴ ταὐτὸν εἶ
in-nothing you-may-fall-short of-the your father since the-same you-are
κατ᾽ οὐσίαν; ἢ δῆλον ὅτι, τῆς ἰδιότητος ἀκινήτου μενούσης,
in substance or clear that the property unmoved remaining
ζητήσομεν οὐσίαν θεοῦ, ἥ τις ποτέ ἐστιν, εἴπερ
we-will-seek (the)-substance of-God which some ever is if-indeed
ζητήσομεν; ὅτι δὲ οὐ ταὐτὸν ἀγέννητον καὶ θεός, ὧδε ἂν
we-will-seek that and not the-same unbegotten and God thus —
μάθοις. εἰ ταὐτὸν ἦν, ἔδει πάντως, ἐπειδὴ
you-might-learn if the-same it-were it-would-be-necessary altogether since
τινῶν θεὸς ὁ θεός, τινῶν εἶναι καὶ τὸ ἀγέννητον· ἢ
of-some(-things) God — God of-some(-things) to-be also the unbegotten or
ἐπεὶ μηδενὸς τὸ ἀγέννητον, μηδὲ τὸν θεὸν εἶναι τινῶν.
since of-nothing the unbegotten not-even — God to-be of-some(-things)

τὰ γὰρ πάντῃ ταὐτὰ καὶ ὁμοίως ἐκφέρεται. ἀλλὰ μὴν
the(-things) for wholly the-same also alike are-predicated but indeed
οὐ τινῶν τὸ ἀγέννητον, τίνων γάρ; καὶ τινῶν θεὸς
not of-some(-things) the unbegotten of-what for and of-some(-things) God
ὁ θεός, πάντων γάρ. πῶς οὖν ἂν εἴη ταὐτὸν θεὸς καὶ
— God of-all for how then — would-be the-same God and
ἀγέννητον; καὶ πάλιν, ἐπειδὴ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν
unbegotten and again since the unbegotten and the begotten
ἀντίκειται ἀλλήλοις, ὡς ἕξις καὶ στέρησις, ἀνάγκη καὶ
are-opposed to-each-other as possession and privation necessity also
οὐσίας εἰσαχθῆναι ἀντικειμένας ἀλλήλαις, ὅπερ οὐ δέδοται·
substances to-be-brought-in opposed to-each-other which not is-granted
ἢ ἐπειδὴ πάλιν αἱ ἕξεις τῶν στερήσεων πρότεραι, καὶ
or since again the possessions than-the privations prior and
ἀναιρετικαὶ τῶν ἕξεων αἱ στερήσεις, μὴ μόνον πρεσβυτέραν
destructive of-the possessions the privations not only older
εἶναι τῆς τοῦ πατρὸς οὐσίας τὴν τοῦ υἱοῦ, ἀλλὰ καὶ
to-be than-the of-the father substance the of-the son but also
ἀναιρουμένην ὑπὸ τοῦ πατρός, ὅσον ἐπὶ ταῖς σαῖς ὑποθέσεσι.
being-destroyed by the father as-far-as upon the your hypotheses

13 Τίς ἔτι λόγος αὐτοῖς τῶν ἀφύκτων; τάχα ἂν ἐπ' ἐκεῖνο
what still argument to-them of-the inescapable(-ones) perhaps — to that
καταφύγοιεν τελευταῖον· ὡς εἰ μὲν οὐ πέπαυται τοῦ
they-would-flee last that if indeed not has-ceased from-the
γεννᾶν ὁ θεός, ἀτελὴς ἡ γέννησις, καί ποτε παύσεται.
to-beget — God incomplete the generation and at-some-time it-will-cease
εἰ πέπαυται δέ, πάντως καὶ ἤρξατο. πάλιν οἱ σωματικοὶ
if it-has-ceased and altogether also it-began again the bodily(-ones)
τὰ σωματικά. ἐγὼ δὲ εἰ μὲν ἀίδιον αὐτῷ τὸ γεννᾶσθαι,
the bodily(-things) I and whether indeed eternal to-him the to-be-begotten
ἢ μή, οὔπω λέγω, ἕως ἂν τὸ Πρὸ πάντων βουνῶν γεννᾷ
or not not-yet I-say until — the before all hills he-begets

με ἀκριβῶς ἐπισκέψωμαι. οὐχ ὁρῶ δὲ τίς ἡ ἀνάγκη τοῦ
me precisely I-may-examine not I-see and what the necessity of-the
λόγου. εἰ γὰρ ἦρκται κατ᾽ αὐτοὺς τὸ παυσόμενον,
argument if for it-has-begun according-to them the(-thing) going-to-cease
οὐκ ἦρκται πάντως τὸ μὴ παυσόμενον. τί τοίνυν
not has-begun altogether the(-thing) not going-to-cease what therefore
ἀποφανοῦνται περὶ ψυχῆς, ἢ τῆς ἀγγελικῆς φύσεως; εἰ
will-they-declare about soul or the angelic nature if
μὲν ἦρκται, καὶ παύσεται· εἰ δὲ οὐ παύσεται, δῆλον ὅτι
indeed it-has-begun also it-will-cease if and not it-will-cease clear that
κατ᾽ αὐτοὺς οὐδὲ ἦρκται. ἀλλὰ μὴν καὶ ἦρκται, καὶ
according-to them not-even it-has-begun but indeed both it-has-begun and
οὐ παύσεται. οὐκ ἄρα ἦρκται κατ᾽ αὐτοὺς τὸ
not it-will-cease not after-all has-begun according-to them the(-thing)
παυσόμενον. ὁ μὲν οὖν ἡμέτερος λόγος· ὥσπερ ἵππου,
going-to-cease the indeed then our argument as of-horse
καὶ βοός, καὶ ἀνθρώπου, καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ
and of-ox and of-man and of-each of-the under the same
εἶδος, εἷς λόγος ἐστί, καὶ ὃ μὲν ἂν μετέχῃ τοῦ λόγου,
form one definition is and what indeed — may-partake of-the definition
τοῦτο καὶ κυρίως λέγεσθαι, ὃ δ᾽ ἂν μὴ μετέχῃ, τοῦτο
this also properly to-be-called what and — not may-partake this
ἢ μὴ λέγεσθαι, ἢ μὴ κυρίως λέγεσθαι, οὕτω δὲ καὶ θεοῦ
either not to-be-called or not properly to-be-called thus and also of-God
μίαν οὐσίαν εἶναι, καὶ φύσιν, καὶ κλῆσιν, κἂν ἐπινοίαις
one substance to-be and nature and name even-if by-conceptions
τισὶ διαιρουμέναις συνδιαιρῆται καὶ τὰ ὀνόματα· καὶ ὃ
some divided are-divided-together also the names and what
μὲν ἂν κυρίως λέγηται, τοῦτο καὶ εἶναι θεόν· ὃ δ᾽
indeed — properly may-be-called this also to-be God what and
ἂν ᾖ κατὰ φύσιν, τοῦτο καὶ ἀληθῶς ὀνομάζεσθαι·
— may-be according-to nature this also truly to-be-named

εἴπερ μὴ ἐν ὀνόμασιν, ἀλλ' ἐν πράγμασίν ἐστιν ἡμῖν ἡ
if-indeed not in names but in things is for-us the
ἀλήθεια. οἱ δέ, ὥσπερ δεδοικότες μὴ πάντα κινεῖν κατὰ
truth they but as fearing not all(-things) to-move against
τῆς ἀληθείας, θεὸν μὲν εἶναι τὸν υἱὸν ὁμολογοῦσιν, ὅταν
the truth God indeed to-be the son they-confess whenever
βιασθῶσι τῷ λόγῳ καὶ ταῖς μαρτυρίαις, ὁμώνυμον δὲ
they-are-forced by-the argument and by-the testimonies homonymous but
καὶ μόνης κοινωνοῦντα τῆς κλήσεως.
and only sharing of-the name

14 Ὅταν δὲ ἀνθυποφέρωμεν αὐτοῖς· τί οὖν; οὐ κυρίως θεὸς
whenever and we-object to-them what then not properly God
ὁ υἱός, ὥσπερ οὐδὲ ζῷον τὸ γεγραμμένον; πῶς
the son as not-even (a)-living-thing the(-thing) painted how
οὖν θεός, εἰ μὴ κυρίως θεός; τί γὰρ κωλύει, φασί, καὶ
then God if not properly God what for prevents they-say also
ὁμώνυμα ταῦτα εἶναι, καὶ κυρίως ἀμφότερα λέγεσθαι;
homonymous these(-things) to-be and properly both to-be-called
καὶ προοίσουσιν ἡμῖν τὸν κύνα, τὸν χερσαῖον, καὶ τὸν
and they-will-put-forward to-us the dog the land(-dog) and the
θαλάττιον, ὁμώνυμά τε ὄντα, καὶ κυρίως λεγόμενα, —
sea(-dog) homonymous both being and properly called
ἔστι γάρ τι καὶ τοιοῦτον εἶδος ἐν τοῖς ὁμωνύμοις, —
there-is for some also such (a)-kind among the homonyms
καὶ εἴτε τι ἄλλο τῇ αὐτῇ προσχρῆται προσηγορίᾳ,
and if something other the same uses-besides appellation
καὶ μετέχει ταύτης ἐπ' ἴσης, τῇ φύσει διεστηκός.
and partakes of-it on equal(-terms) in-the nature differing
ἀλλ' ἐκεῖ μέν, ὦ βέλτιστε, δύο φύσεις τιθεὶς ὑπὸ τὴν
but there indeed O best two natures setting under the
αὐτὴν προσηγορίαν, οὐδὲν ἀμείνω τὴν ἑτέραν τῆς
same appellation in-nothing better the one than-the

ἑτέρας εἰσάγεις, οὐδὲ τὴν μὲν πρότερον, τὴν δὲ
other you-introduce nor the(-one) indeed prior the(-other) and
ὕστερον, οὐδὲ τὴν μὲν μᾶλλον, τὴν δὲ ἧττον οὖσαν
later nor the(-one) indeed more the(-other) and less being
τοῦθ' ὅπερ λέγεται. οὐδὲ γάρ τι συνέζευκται τὸ
this which is-said not-even for anything is-yoked-in the(-thing)
ταύτην παρέχον αὐταῖς τὴν ἀνάγκην. οὐ γὰρ ὁ μὲν
this providing to-them the necessity not for the(-one) indeed
μᾶλλον κύων, ὁ δὲ ἧττον τοῦ ἑτέρου κυνός, οἷον
more dog the(-other) and less than-the other dog as
ὁ θαλάττιος τοῦ χερσαίου, ἢ ὁ χερσαῖος ἔμπαλιν τοῦ
the sea(-dog) than-the land(-dog) or the land(-dog) conversely than-the
θαλαττίου· διὰ τί γάρ, ἢ κατὰ τίνα λόγον; ἀλλ' ἐν
sea(-dog) because-of what for or according-to what reason but in
ὁμοτίμοις πράγμασι καὶ διαφόροις ἡ κοινωνία τῆς κλήσεως.
equal-in-honor things and different the sharing of-the name
ἐνταῦθα δὲ τῷ θεῷ παραζευγνὺς τὸ σεβάσμιον, καὶ τὸ
here but — with-God yoking-beside the venerable and the
ὑπὲρ πᾶσαν οὐσίαν εἶναι καὶ φύσιν, ὃ μόνου θεοῦ καὶ
above all substance to-be and nature which of-only God and
οἱονεὶ φύσις θεότητος, εἶτα τῷ πατρὶ μὲν τοῦτο διδούς,
as-it-were (the)-nature of-godhead then to-the father indeed this giving
τὸν υἱὸν δὲ ἀποστερῶν καὶ ὑποτιθείς, καὶ τὰ δεύτερα
the son and depriving and subordinating and the second(-things)
νέμων αὐτῷ τῆς τιμῆς καὶ τῆς προσκυνήσεως, κἂν ταῖς
allotting to-him of-the honor and of-the worship even-if in-the
συλλαβαῖς χαρίζῃ τὸ ὅμοιον, τῷ πράγματι τὴν θεότητα
syllables you-grant the like in-the thing the godhead
περικόπτεις, καὶ μεταβαίνεις κακούργως ἀπὸ τῆς τὸ ἴσον
you-cut-off and you-pass-over maliciously from the the equal
ἐχούσης ὁμωνυμίας ἐπὶ τὴν τὰ μὴ ἴσα συνδέουσαν·
having homonymy to the the not equal(-things) binding-together

ὥστε ὁ γραπτός σοι καὶ ὁ ζῶν ἄνθρωπος μᾶλλον ἢ οἱ
so-that the painted for-you and the living man rather than the
τοῦ ὑποδείγματος κύνες τῇ θεότητι πλησιάζουσιν. ἢ δὸς
of-the example dogs to-the godhead draw-near or grant
ἀμφοτέροις, ὥσπερ τὴν κοινωνίαν τῆς κλήσεως, οὕτω δὲ
to-both as the sharing of-the name thus and
καὶ τὴν ὁμοτιμίαν τῶν φύσεων, εἰ καὶ διαφόρους ταύτας
also the equality-of-honor of-the natures if even different these
εἰσάγεις· καὶ καταλέλυκάς σου τοὺς κύνας, οὓς ἐξηῦρες
you-introduce and you-have-undone of-you the dogs which you-discovered
κατὰ τῆς ἀνισότητος. τί γὰρ ὄφελος τῆς ὁμωνυμίας, εἰ
against the inequality what for (the)-profit of-the homonymy if
τὸ ἰσότιμον ἔχοιεν οἱ παρά σου διαιρούμενοι; οὐ γὰρ
the equality-of-honor should-have those by you divided not for
ἵνα ἰσότιμα δείξῃς, ἀλλ' ἵνα ἀνισότιμα, πρὸς
that equal-in-honor(-things) you-may-show but that unequal-in-honor(-things) to
τὴν ὁμωνυμίαν καὶ τοὺς κύνας κατέφυγες. πῶς ἄν τις
the homonymy and the dogs you-fled how — anyone
ἐλεγχθείη μᾶλλον καὶ ἑαυτῷ μαχόμενος καὶ θεότητι;
could-be-refuted more both with-himself fighting and with-godhead
15 Ἐὰν δὲ λεγόντων ἡμῶν, ὅτι τῷ αἰτίῳ μείζων ὁ
if and saying us that by-the cause greater the
πατὴρ τοῦ υἱοῦ, προσλαβόντες τὴν Τὸ δὲ αἴτιον φύσει
father than-the son taking-in-addition the the and cause by-nature
πρότασιν, ἔπειτα τὸ Μεῖζον τῇ φύσει συνάγωσιν· οὐκ
premise then the greater by-the nature they-conclude not
οἶδα πότερον ἑαυτοὺς παραλογίζονται, ἢ τοὺς πρὸς οὓς ὁ
I-know whether themselves they-mislead or those to whom the
λόγος. οὐ γὰρ ἁπλῶς ὅσα κατά τινος λέγεται, ταῦτα
argument not for simply whatever of something is-said these(-things)
καὶ κατὰ τοῦ ὑποκειμένου τούτῳ ῥηθήσεται· ἀλλὰ δῆλον
also of the subject to-this will-be-said but clear

κατὰ τίνος, καὶ τίνα. ἐπεὶ τί κωλύει κἀμὲ ταύτην
of what and what(-things) since what prevents me-too this
πρότασιν ποιησάμενον τήν, ὅτι ὁ πατὴρ μείζων τῇ φύσει,
premise having-made the that the father greater by-the nature
ἔπειτα προσλαβόντα τὸ Φύσει δὲ οὐ πάντως μείζων οὐδὲ
then having-added the by-nature and not altogether greater nor
πατήρ, ἐντεῦθεν συναγαγεῖν τὸ Μεῖζον οὐ πάντως μεῖζον·
father thence to-conclude the greater not altogether greater
ἤ, Ὁ πατὴρ οὐ πάντως πατήρ. εἰ βούλει δὲ οὕτως· ὁ
or the father not altogether father if you-wish and thus —
θεός, οὐσία· ἡ οὐσία δέ, οὐ πάντως θεός· τὸ ἑξῆς αὐτὸς
God (a)-substance the substance but not altogether God the next yourself
συνάγαγε· ὁ θεός, οὐ πάντως θεός. ἀλλ᾽ οἶμαι, παρὰ τὸ
conclude — God not altogether God but I-think from the
πῇ καὶ ἁπλῶς ὁ παραλογισμὸς οὗτος, ὡς τοῖς
in-some-respect and simply the fallacy this as to-those
περὶ ταῦτα τεχνολογεῖν σύνηθες. ἡμῶν γὰρ τὸ μεῖζον
about these(-things) to-make-technical-rules customary of-us for the greater
τῇ τοῦ αἰτίου φύσει διδόντων, αὐτοὶ τὸ τῇ φύσει μεῖζον
by-the of-the cause nature giving they the by-the nature greater
ἐπάγουσιν· ὥσπερ ἂν εἰ καὶ λεγόντων ἡμῶν, ὅτι ὁ δεῖνα
bring-in as — if also saying us that the so-and-so
νεκρὸς ἄνθρωπος, ἁπλῶς ἐπῆγον αὐτοὶ τὸν ἄνθρωπον.
dead (a)-man simply were-bringing-in they the man
Ἐκεῖνο δὲ πῶς παραδράμωμεν, οὐδενὸς ἧττον τῶν 16
that and how may-we-run-past than-none less of-the
εἰρημένων ὂν ἀξιάγαστον; Ὁ πατήρ, φησιν, οὐσίας, ἢ
said(-things) being admirable the father he-says of-substance or
ἐνεργείας ὄνομα; ὡς ἀμφοτέρωθεν ἡμᾶς δήσοντες, — εἰ
of-activity (the)-name as from-both-sides us going-to-bind if
μὲν οὐσίας φήσομεν, συνθησομένους ἑτεροούσιον εἶναι τὸν
indeed of-substance we-shall-say going-to-agree other-in-substance to-be the

υἱόν, ἐπειδὴ μία μὲν οὐσία θεοῦ, ταύτην δέ, ὡς οὗτοι,
son since one indeed substance of-God this and as these(-men)
προκατείληφεν ὁ πατήρ· εἰ δὲ ἐνεργείας, ποίημα σαφῶς
has-pre-occupied the father if and of-activity (a)-thing-made clearly
ὁμολογήσοντας, ἀλλ᾽ οὐ γέννημα. οὗ γὰρ ὁ ἐνεργῶν,
going-to-confess but not (an)-offspring where for the(-one) acting
ἐκεῖ πάντως καὶ τὸ ἐνεργούμενον. καὶ πῶς τῷ
there altogether also the(-thing) acted and how with-the
πεποιηκότι ταὐτὸν τὸ πεποιημένον, θαυμάζειν φήσουσι.
having-made the-same the(-thing) made to-wonder they-will-say
σφόδρα ἂν ἠδέσθην ὑμῶν καὶ αὐτὸς τὴν διαίρεσιν,
exceedingly — I-would-have-respected your also myself the division
εἰ τῶν δύο τὸ ἕτερον δέξασθαι ἦν ἀναγκαῖον, ἀλλὰ μὴ τὰ
if of-the two the one to-accept were necessary but not the
δύο διαφυγόντα τρίτον εἰπεῖν ἀληθέστερον· ὅτι οὔτε οὐσίας
two having-escaped (a)-third to-say truer that neither of-substance
ὄνομα ὁ πατήρ, ὦ σοφώτατοι, οὔτε ἐνεργείας, σχέσεως δὲ
(the)-name the father O most-wise nor of-activity of-relation but
καὶ τοῦ πῶς ἔχει πρὸς τὸν υἱὸν ὁ πατήρ, ἢ ὁ υἱὸς πρὸς
and of-the how he-is toward the son the father or the son toward
τὸν πατέρα. ὡς γὰρ παρ᾽ ἡμῖν αἱ κλήσεις αὗται τὸ γνήσιον
the father as for among us the names these the genuine
καὶ οἰκεῖον γνωρίζουσιν, οὕτω κἀκεῖ τὴν τοῦ γεγεννημένου
and akin make-known thus there-too the of-the begotten
πρὸς τὸ γεγεννηκὸς ὁμοφυίαν σημαίνουσιν. ἔστω δέ,
to the having-begotten sameness-of-nature they-signify let-it-be and
ὑμῶν χάριν, καὶ οὐσία τις ὁ πατήρ· συνεισάξει τὸν
for-your sake also substance some the father he-will-bring-in-together the
υἱόν, οὐκ ἀλλοτριώσει, κατὰ τὰς κοινὰς ἐννοίας καὶ
son not he-will-estrange according-to the common notions and
τὴν τῶν κλήσεων τούτων δύναμιν. ἔστω καὶ ἐνεργείας, εἰ
the of-the names these force let-it-be also of-activity if

τοῦτο δοκεῖ· οὐδὲ οὕτως ἡμᾶς αἱρήσετε. αὐτὸ δὲ τοῦτο
this seems not-even thus us you-will-catch itself and this
ἐνηργηκὼς ἂν εἴη τὸ ὁμοούσιον, εἰ καὶ ἄτοπος ἄλλως
having-effected — would-be the consubstantial if even absurd otherwise
ἡ τῆς περὶ τοῦτο ἐνεργείας ὑπόληψις. ὁρᾶς ὅπως ὑμῶν,
the of-the about this activity supposition you-see how of-you
καὶ κακομαχεῖν ἐθελόντων, τὰς στροφὰς διαφεύγομεν; ἐπεὶ
even to-fight-unfairly wishing the twists we-escape since
δέ σου τὸ ἐν τοῖς λογισμοῖς καὶ ταῖς στροφαῖς ἄμαχον
and of-you the in the reasonings and the twists invincible
ἔγνωμεν, ἴδωμέν σου καὶ τὴν ἐκ τῶν θείων λογίων
we-have-known let-us-see of-you also the from the divine oracles
ἰσχύν, ἂν ἄρα δέξῃ κἀντεῦθεν πείθειν ἡμᾶς.
strength if after-all you-may-consent from-here-too to-persuade us

XI · THE LOFTY AND THE LOWLY

Gregory gathers the Son's lofty names, Word, only-begotten, way, truth, life, light, wisdom, power, radiance, image, and seal, and assigns the lowly words to the humanity he assumed. He was born yet begotten before time, hungered yet fed thousands, wept yet stopped tears, asked where Lazarus lay yet raised him, was sold yet redeemed the world, and died yet destroyed death. If the opponents stay contentious, Gregory and his hearers at least will keep the Trinity.

Ἡμεῖς μὲν γὰρ ἐκ μεγάλων καὶ ὑψηλῶν τῶν φωνῶν τοῦ 17
we indeed for from great and lofty the sayings of-the
υἱοῦ τὴν θεότητα καὶ κατειλήφαμεν, καὶ κηρύσσομεν. τίνων
son the godhead both have-comprehended and proclaim of-which
τούτων; τῆς θεός, τῆς λόγος, ὁ ἐν ἀρχῇ,
of-these of-the(-word) God of-the(-word) word the(-one) in beginning
ὁ μετὰ τῆς ἀρχῆς, ἡ ἀρχή· Ἐν ἀρχῇ ἦν ὁ λόγος,
the(-one) with the beginning the beginning in beginning was the word

καὶ ὁ λόγος ἦν πρὸς τὸν θεόν, καὶ θεὸς ἦν ὁ λόγος· καί,
and the word was with — God and God was the word and
Μετά σου ἡ ἀρχή· καί, Ὁ καλῶν αὐτὴν ἀπὸ γενεῶν
with you the beginning and the(-one) calling her from generations
ἀρχήν. ἐπειδὴ υἱὸς μονογενής· Ὁ μονογενὴς υἱός, ὁ
beginning since son only-begotten the only-begotten son the(-one)
ὢν εἰς τὸν κόλπον τοῦ πατρός, ἐκεῖνος ἐξηγήσατο. ὁδός,
being into the bosom of-the father he made-known way
ἀλήθεια, ζωή, φῶς· Ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ
truth life light I am the way and the truth and
ἡ ζωή· καί, Ἐγώ εἰμι τὸ φῶς τοῦ κόσμου. σοφία, δύναμις·
the life and I am the light of-the world wisdom power
Χριστὸς θεοῦ δύναμις, καὶ θεοῦ σοφία. ἀπαύγασμα,
Christ of-God power and of-God wisdom radiance
χαρακτήρ, εἰκών, σφραγίς· Ὃς ὢν ἀπαύγασμα τῆς δόξης
impress image seal who being radiance of-the glory
καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ· καί, Εἰκὼν τῆς
and impress of-the hypostasis of-him and image of-the
ἀγαθότητος· καί, Τοῦτον γὰρ ὁ πατὴρ ἐσφράγισεν ὁ θεός.
goodness and him for the father sealed — God
κύριος, βασιλεύς, ὁ ὤν, ὁ παντοκράτωρ· Ἔβρεξε
lord king the(-one) being the almighty rained
κύριος πῦρ παρὰ κυρίου· καί, Ῥάβδος εὐθύτητος ἡ ῥάβδος
(the)-lord fire from (the)-lord and rod of-uprightness the rod
τῆς βασιλείας σου· καί, Ὁ ὤν, καὶ ὁ ἦν, καὶ ὁ
of-the kingdom of-you and the(-one) being and the(-one) was and the(-one)
ἐρχόμενος, καὶ ὁ παντοκράτωρ. σαφῶς περὶ τοῦ υἱοῦ
coming and the almighty clearly about the son
λεγόμενα, καὶ ὅσα τῆς αὐτῆς τούτοις ἐστὶ δυνάμεως, ὧν
said(-things) and whatever of-the same with-these is force of-which
οὐδὲν ἐπίκτητον, οὐδὲ ὕστερον τῷ υἱῷ προσγενόμενον, ἢ
nothing acquired nor later to-the son added or

τῷ πνεύματι, ὥσπερ οὐδὲ αὐτῷ τῷ πατρί. οὐ γὰρ ἐκ
to-the spirit as not-even to-himself the father not for from
προσθήκης τὸ τέλειον. οὐ γὰρ ἦν ὅτε ἄλογος ἦν, οὐδὲ
addition the perfect not for there-was when wordless he-was nor
ἦν ὅτε οὐ πατήρ, οὐδὲ ἦν ὅτε οὐκ ἀληθής, ἢ ἄσοφος,
there-was when not father nor there-was when not true or unwise
ἢ ἀδύνατος, ἢ ζωῆς ἐνδεής, ἢ λαμπρότητος, ἢ ἀγαθότητος.
or powerless or of-life lacking or of-brightness or of-goodness
Σὺ δέ μοι καταρίθμει πρὸς ταῦτα τὰ τῆς ἀγνωμοσύνης 18
you and for-me count-up against these the of-the ingratitude
ῥήματα, τὸ θεός μου καὶ θεὸς ὑμῶν, τὸ μείζων, τὸ ἔκτισε,
words the God of-me and God of-you the greater the he-created
τὸ ἐποίησε, τὸ ἡγίασεν. εἰ βούλει δέ, καὶ τὸ δοῦλον,
the he-made the he-sanctified if you-wish and also the servant
καὶ τὸ ὑπήκοον· τὸ δέδωκε, τὸ ἔμαθε, τὸ ἐντέταλται,
and the obedient the he-has-given the he-learned the he-has-been-commanded
τὸ ἀπέσταλται, τὸ μὴ δύνασθαι ἀφ' ἑαυτοῦ τι ποιεῖν,
the he-has-been-sent the not to-be-able from himself anything to-do
ἢ λέγειν, ἢ κρίνειν, ἢ δωρεῖσθαι, ἢ βούλεσθαι. ἔτι δὲ
or to-say or to-judge or to-give or to-will yet and
καὶ ταῦτα, τὴν ἄγνοιαν, τὴν ὑποταγήν, τὴν εὐχήν, τὴν
also these(-things) the ignorance the subjection the prayer the
ἐρώτησιν, τὴν προκοπήν, τὴν τελείωσιν. πρόσθες, εἰ βούλει,
questioning the progress the perfecting add if you-wish
καὶ ὅσα τούτων ταπεινότερα, τὸ ὑπνοῦν, τὸ πεινῆν, τὸ
also whatever than-these lower the to-sleep the to-hunger the
κοπιᾷν, τὸ δακρύειν, τὸ ἀγωνιᾷν, τὸ ὑποδύεσθαι. τάχα δ'
to-toil the to-weep the to-be-in-agony the to-shrink perhaps and
ἂν ὀνειδίσαις καὶ τὸν σταυρόν, καὶ τὸν θάνατον. τὴν γὰρ
— you-might-reproach also the cross and the death the for
ἔγερσιν καὶ τὴν ἀνάληψιν παρήσειν μοι δοκεῖς, ἐπειδή
rising and the ascension to-be-going-to-let-pass to-me you-seem since

τι καὶ πρὸς ἡμῶν ἐν τούτοις εὑρίσκεται. πολλὰ δ' ἂν
something also on our(-side) in these is-found many and —
ἔτι πρὸς τούτοις σπερμολογήσαις, εἰ βούλοιο συντιθέναι
still besides these you-might-pick-up if you-should-wish to-put-together
τὸν ὁμώνυμόν σου θεὸν καὶ παρέγγραπτον, ἡμῖν δὲ ἀληθινὸν
the homonymous of-you God and enrolled-falsely for-us but true
καὶ ὁμότιμον. τούτων γὰρ ἕκαστον οὐ χαλεπὸν μὲν καὶ
and equal-in-honor of-these for each not difficult indeed also
κατὰ μέρος ἐπεξιόντα ἐξηγεῖσθαί σοι πρὸς τὸ εὐσεβέστατον,
in part going-through to-explain to-you toward the most-pious
καὶ ἀνακαθαίρειν τὸ ἐν τοῖς γράμμασι πρόσκομμα, εἴ γε
and to-cleanse the in the writings stumbling-block if at-least
προσπταίεις ὄντως, ἀλλὰ μὴ ἑκὼν κακουργεῖς. ἑνὶ δὲ
you-stumble really but not willingly you-do-evil in-one and
κεφαλαίῳ, τὰ μὲν ὑψηλότερα πρόσαγε τῇ θεότητι
heading the(-things) indeed loftier apply to-the godhead
καὶ τῇ κρείττονι φύσει παθῶν καὶ σώματος· τὰ δὲ
and to-the better nature than-passions and than-body the(-things) and
ταπεινότερα τῷ συνθέτῳ, καὶ τῷ διὰ σὲ κενωθέντι
lowlier to-the composite and to-the(-one) because-of you emptied
καὶ σαρκωθέντι, οὐδὲν δὲ χεῖρον εἰπεῖν, καὶ ἀνθρωπισθέντι,
and made-flesh nothing and worse to-say also made-man
εἶτα καὶ ὑψωθέντι, ἵνα σὺ τὸ τῶν δογμάτων σου σαρκικὸν
then also exalted that you the of-the doctrines of-you fleshly
καὶ χαμαιπετὲς καταλύσας μάθῃς ὑψηλότερος εἶναι, καὶ
and groveling having-destroyed may-learn loftier to-be and
συνανιέναι θεότητι, καὶ μὴ τοῖς ὁρωμένοις ἐναπομένοις,
to-ascend-with godhead and not in-the seen(-things) to-remain
ἀλλὰ συνεπαίρῃ τοῖς νοουμένοις, καὶ γινώσκῃς, τίς
but may-be-lifted-up-with the understood(-things) and may-know what
μὲν φύσεως λόγος, τίς δὲ λόγος οἰκονομίας.
indeed of-nature (the)-account what and (the)-account of-dispensation

Οὗτος γὰρ ὁ νῦν σοι καταφρονούμενος, ἦν ὅτε καὶ 19
this(-one) for the now by-you despised there-was when even
ὑπὲρ σὲ ἦν· ὁ νῦν ἄνθρωπος καὶ ἀσύνθετος ἦν.
above you was the(-one) now man and uncompounded he-was
ὃ μὲν ἦν, διέμεινεν· ὃ δὲ οὐκ ἦν, προσέλαβεν. ἐν
what indeed he-was he-remained what and not he-was he-assumed in
ἀρχῇ ἦν ἀναιτίως· τίς γὰρ αἰτία θεοῦ; ἀλλὰ καὶ
beginning he-was without-cause what for (the)-cause of-God but also
ὕστερον γέγονε δι' αἰτίαν (ἡ δὲ ἦν τὸ σὲ σωθῆναι
later he-came-to-be because-of (a)-cause which and was the you to-be-saved
τὸν ὑβριστήν, ὃς διὰ τοῦτο περιφρονεῖς θεότητα,
the insulter who because-of this despise godhead
ὅτι τὴν σὴν παχύτητα κατεδέξατο) διὰ μέσου νοὸς
because the your thickness he-accepted through (a)-mediating mind
ὁμιλήσας σαρκί, καὶ γενόμενος ἄνθρωπος, ὁ κάτω θεός·
consorting with-flesh and having-become man the below God
ἐπειδὴ συνανεκράθη θεῷ, καὶ γέγονεν εἷς, τοῦ κρείττονος
since he-was-blended-with with-God and he-became one the better
ἐκνικήσαντος, ἵνα γένωμαι τοσοῦτον θεός, ὅσον ἐκεῖνος
having-prevailed that I-may-become so-much God as-much-as he
ἄνθρωπος. ἐγεννήθη μέν, ἀλλὰ καὶ ἐγεγέννητο· ἐκ
man he-was-born indeed but also he-had-been-begotten from
γυναικὸς μέν, ἀλλὰ καὶ παρθένου. τοῦτο ἀνθρώπινον, ἐκεῖνο
(a)-woman indeed but also (a)-virgin this human that
θεῖον. ἀπάτωρ ἐντεῦθεν, ἀλλὰ καὶ ἀμήτωρ ἐκεῖθεν. ὅλον
divine fatherless hence but also motherless thence whole
τοῦτο θεότητος. ἐκυοφορήθη μέν, ἀλλ' ἐγνώσθη
this of-godhead he-was-carried-in-the-womb indeed but he-was-recognized
προφήτῃ καὶ αὐτῷ κυοφορουμένῳ, καὶ προσκιρτῶντι
by-(a)-prophet also himself being-carried-in-the-womb and leaping-before
τοῦ λόγου, δι' ὃν ἐγένετο. ἐσπαργανώθη μέν, ἀλλ'
the word because-of whom he-came-to-be he-was-swaddled indeed but

ἀποσπαργανοῦται τὰ τῆς ταφῆς ἀνιστάμενος. ἐν
he-unswaddles the(-bands) of-the burial rising in
φάτνῃ μὲν ἀνεκλίθη, ἀλλ᾽ ὑπ᾽ ἀγγέλων ἐδοξάσθη, καὶ ὑπ᾽
(a)-manger indeed he-was-laid but by angels he-was-glorified and by
ἀστέρος ἐμηνύθη, καὶ ὑπὸ μάγων προσεκυνήθη. πῶς σὺ
(a)-star he-was-revealed and by magi he-was-worshiped how you
προσπταίεις τῷ βλεπομένῳ, μὴ σκοπῶν τὸ νοούμενον;
stumble at-the seen(-thing) not considering the understood(-thing)
ἐφυγαδεύθη μὲν εἰς Αἴγυπτον, ἀλλὰ φυγαδεύει τὰ
he-was-exiled indeed into Egypt but he-exiles the(-things)
Αἰγυπτίων. οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος παρὰ Ἰουδαίοις,
of-Egyptians not he-had form nor beauty among Jews
ἀλλὰ τῷ Δαβὶδ ὡραῖος ἦν κάλλει παρὰ τοὺς υἱοὺς τῶν
but — to-David fair he-was in-beauty beyond the sons of-the
ἀνθρώπων, ἀλλ᾽ ἐπὶ τοῦ ὄρους ἀστράπτει, καὶ ἡλίου
men but on the mountain he-flashes and than-(the)-sun
φωτοειδέστερος γίνεται, τὸ μέλλον μυσταγωγῶν.
more-luminous he-becomes the(-thing) to-come initiating-into
20 Ἐβαπτίσθη μὲν ὡς ἄνθρωπος, ἀλλ᾽ ἁμαρτίας ἔλυσεν ὡς
he-was-baptized indeed as man but sins he-loosed as
θεός· οὐ καθαρσίων αὐτὸς δεόμενος, ἀλλ᾽ ἵνα ἁγιάσῃ
God not of-purifications himself needing but that he-might-sanctify
τὰ ὕδατα. ἐπειράσθη ὡς ἄνθρωπος, ἀλλ᾽ ἐνίκησεν ὡς θεός·
the waters he-was-tempted as man but he-conquered as God
ἀλλὰ θαρρεῖν διακελεύεται, ὡς κόσμον νενικηκώς.
but to-be-of-good-cheer he-bids as (the)-world having-conquered
ἐπείνησεν, ἀλλ᾽ ἔθρεψε χιλιάδας, ἀλλ᾽ ἄρτος ἐστὶ ζωτικὸς καὶ
he-hungered but he-fed thousands but bread he-is life-giving and
οὐράνιος. ἐδίψησεν, ἀλλ᾽ ἐβόησεν· Ἐάν τις διψᾷ, ἐρχέσθω
heavenly he-thirsted but he-cried-out if anyone thirsts let-him-come
πρός με, καὶ πινέτω· ἀλλὰ καὶ πηγάζειν ὑπέσχετο τοὺς
to me and let-him-drink but also to-gush he-promised the(-ones)

πιστεύοντας. ἐκοπίασεν, ἀλλὰ τῶν κοπιώντων καὶ
believing he-grew-weary but of-the(-ones) toiling and
πεφορτισμένων ἐστὶν ἀνάπαυσις. ἐβαρήθη μὲν ὕπνῳ,
burdened he-is (the)-rest he-was-weighed-down indeed by-sleep
ἀλλ' ἐπὶ πελάγους κουφίζεται, ἀλλ' ἐπιτιμᾷ πνεύμασιν,
but on (the)-sea he-is-made-light but he-rebukes winds
ἀλλὰ Πέτρον κουφίζει βαπτιζόμενον. δίδωσι τέλος, ἀλλ' ἐξ
but Peter he-lightens being-submerged he-pays (the)-tax but from
ἰχθύος, ἀλλὰ βασιλεύει τῶν ἀπαιτούντων. Σαμαρείτης
(a)-fish but he-is-king of-the(-ones) demanding (a)-Samaritan
ἀκούει καὶ δαιμονῶν, πλὴν σώζει τὸν ἀπὸ Ἰερουσαλὴμ
he-is-called and possessed however he-saves the(-one) from Jerusalem
καταβαίνοντα καὶ λῃσταῖς περιπεσόντα, πλὴν ὑπὸ
going-down and among-robbers having-fallen however by
δαιμόνων ἐπιγινώσκεται, καὶ ἀπελαύνει δαίμονας, καὶ
demons he-is-recognized and he-drives-out demons and
λεγεῶνα πνευμάτων βυθίζει, καὶ ὡς ἀστραπὴν ὁρᾷ
(a)-legion of-spirits he-drowns and as lightning he-sees
πίπτοντα τὸν ἀρχηγὸν τῶν δαιμόνων. λιθάζεται, ἀλλ'
falling the chief of-the demons he-is-stoned but
οὐχ ἁλίσκεται. προσεύχεται, ἀλλ' ἐπακούει. δακρύει, ἀλλὰ
not he-is-caught he-prays but he-hears he-weeps but
παύει δάκρυον. ἐρωτᾷ ποῦ Λάζαρος, ἄνθρωπος γὰρ ἦν·
he-stops (the)-tear he-asks where Lazarus man for he-was
ἀλλ' ἐγείρει Λάζαρον, θεὸς γὰρ ἦν. πωλεῖται, καὶ λίαν
but he-raises Lazarus God for he-was he-is-sold and very
εὐώνως, τριάκοντα γὰρ ἀργυρίων, ἀλλ' ἐξαγοράζει κόσμον,
cheaply thirty for of-silver(-pieces) but he-redeems (the)-world
καὶ μεγάλης τιμῆς, τοῦ ἰδίου γὰρ αἵματος. ὡς πρόβατον
and at-great price of-the own for blood as (a)-sheep
ἐπὶ σφαγὴν ἄγεται, ἀλλὰ ποιμαίνει τὸν Ἰσραήλ, νῦν δὲ
to slaughter he-is-led but he-shepherds — Israel now and

καὶ πᾶσαν τὴν οἰκουμένην. ὡς ἀμνὸς ἄφωνος, ἀλλὰ λόγος
also all the inhabited(-world) as (a)-lamb dumb but (the)-word
ἐστί, φωνῇ βοῶντος ἐν τῇ ἐρήμῳ καταγγελλόμενος.
he-is by-(the)-voice of-(one)-crying in the wilderness proclaimed
μεμαλάκισται, τετραυμάτισται, ἀλλὰ θεραπεύει πᾶσαν
he-has-been-weakened he-has-been-wounded but he-heals every
νόσον, καὶ πᾶσαν μαλακίαν. ἐπὶ τὸ ξύλον ἀνάγεται,
disease and every weakness on the tree he-is-brought-up
προσπήγνυται, ἀλλὰ τῷ ξύλῳ τῆς ζωῆς ἀποκαθίστησιν,
he-is-nailed but by-the tree of-the life he-restores
ἀλλὰ σώζει καὶ λῃστὴν συσταυρούμενον, ἀλλὰ σκοτίζει πᾶν
but he-saves also (a)-robber crucified-with(-him) but he-darkens all
τὸ ὁρώμενον. ὄξος ποτίζεται, χολὴν βρωματίζεται·
the(-thing) seen vinegar he-is-given-to-drink gall he-is-fed
τίς; ὁ τὸ ὕδωρ εἰς οἶνον μεταβαλών, ὁ τῆς πικρᾶς
who the(-one) the water into wine having-changed the of-the bitter
γεύσεως καταλυτής, ὁ γλυκασμὸς καὶ ὅλος ἐπιθυμία.
taste destroyer the sweetness and wholly desire
παραδίδωσι τὴν ψυχήν, ἀλλ' ἐξουσίαν ἔχει πάλιν λαβεῖν
he-gives-up the soul but authority he-has again to-take
αὐτήν, ἀλλὰ καταπέτασμα ῥήγνυται, τὰ γὰρ ἄνω
it but (the)-veil is-rent the(-things) for above
παραδείκνυται, ἀλλὰ πέτραι σχίζονται, ἀλλὰ νεκροὶ
are-shown but rocks are-split but (the)-dead
προεγείρονται. ἀποθνήσκει, ζωοποιεῖ δέ, καὶ καταλύει
are-raised-beforehand he-dies he-gives-life but and he-destroys
τῷ θανάτῳ τὸν θάνατον. θάπτεται, ἀλλ' ἀνίσταται. εἰς
by-the death the death he-is-buried but he-rises to
ᾅδου κάτεισιν, ἀλλ' ἀνάγει ψυχάς, ἀλλ' εἰς οὐρανοὺς
Hades he-goes-down but he-brings-up souls but to heavens
ἄνεισιν, ἀλλ' ἥξει κρῖναι ζῶντας καὶ νεκρούς, καὶ τοὺς
he-goes-up but he-will-come to-judge living and dead and the

τοιούτους βασανίσαι λόγους. εἰ ταῦτα ἐμποιεῖ σοι
such to-examine-by-torture words if these(-things) produce for-you
τῆς πλάνης τὴν ἀφορμήν, ἐκεῖνά σου λύει τὴν πλάνην.
of-the error the starting-point those(-things) of-you loose the error
Ταῦτα τοῖς αἰνιγματισταῖς παρ' ἡμῶν, οὐχ ἑκόντων μέν· 21
these(-things) to-the riddlers from us not willing indeed
οὐ γὰρ ἡδὺ τοῖς πιστοῖς ἀδολεσχία καὶ λόγων ἀντίθεσις,
not for pleasant to-the faithful (is)-garrulousness and of-words opposition
ἀρκεῖ γὰρ καὶ εἷς ἀντικείμενος· πλὴν ἀναγκαίως διὰ
suffices for even one adversary however necessarily because-of
τοὺς ἐμπίπτοντας, ἐπεὶ καὶ διὰ τὰς νόσους τὰ φάρμακα,
those falling-upon(-us) since also because-of the diseases the remedies
ἵν' εἰδῶσι μὴ πάντα ὄντες σοφοὶ μηδὲ ἀήττητοι τὰ
that they-may-know not all being wise nor unconquered the
περιττὰ καὶ κενοῦντα τὸ εὐαγγέλιον. ὅταν γὰρ τὸ
superfluous(-things) and emptying the gospel whenever for the
τοῦ λόγου δυνατὸν προβαλλώμεθα, τὸ πιστεύειν ἀφέντες,
of-the reasoning power we-put-forward the to-believe having-let-go
καὶ τὸ τοῦ πνεύματος ἀξιόπιστον ταῖς ζητήσεσι λύσωμεν,
and the of-the spirit trustworthiness with-the inquiries we-dissolve
εἶτα ἡττηθῇ τοῦ μεγέθους τῶν πραγμάτων ὁ λόγος,
then is-defeated by-the greatness of-the matters the reasoning
— ἡττηθήσεται δὲ πάντως, ἀπὸ ἀσθενοῦς ὀργάνου τῆς
will-be-defeated and certainly from (a)-weak instrument of-the
ἡμετέρας διανοίας ὁρμώμενος, — τί γίνεται; τὸ ἀσθενὲς
our mind starting what becomes the weakness
τοῦ λόγου τοῦ μυστηρίου φαίνεται· καὶ οὕτω κένωσις
of-the reasoning of-the mystery appears and thus (the)-emptying
τοῦ σταυροῦ τὸ τοῦ λόγου κομψὸν ἀναδείκνυται, ὡς καὶ
of-the cross the of-the reasoning cleverness is-displayed as also
Παύλῳ δοκεῖ. ἡ γὰρ πίστις τοῦ καθ' ἡμᾶς λόγου
to-Paul it-seems the for faith of-the according-to us reasoning

πλήρωσις. ὁ δὲ ἀναγγέλλων συνδέσμους, καὶ λύων
(the)-fulfillment the(-one) but announcing bonds and loosing
κρατούμενα, ὁ καὶ ἡμῖν ἐπὶ νοῦν ἀγαγὼν διαλῦσαι
(things)-held-fast who also to-us into mind having-brought to-dissolve
στραγγαλιὰς βιαίων δογμάτων, μάλιστα μὲν καὶ τούτους
tangles of-violent doctrines most-of-all indeed also these(-men)
μεταβαλὼν ποιήσειε πιστοὺς ἀντὶ τεχνολόγων, καὶ
having-changed may-he-make faithful instead-of logic-choppers and
Χριστιανοὺς ἀνθ' ὧν νῦν ὀνομάζονται. τοῦτο δὴ καὶ
Christians instead-of what now they-are-called this indeed also
παρακαλοῦμεν· δεόμεθα ὑπὲρ Χριστοῦ· καταλλάγητε τῷ
we-exhort we-beg on-behalf-of Christ be-reconciled —
θεῷ, καὶ τὸ πνεῦμα μὴ σβέννυτε· μᾶλλον δέ, καταλλαγείη
to-God and the spirit not quench rather but may-be-reconciled
Χριστὸς ὑμῖν, καὶ τὸ πνεῦμα ὀψὲ γοῦν ἀναλάμψειεν. εἰ
Christ to-you and the spirit late at-any-rate may-shine-forth if
δὲ λίαν ἔχοιτε φιλονείκως, ἀλλ' ἡμεῖς γε σώζοιμεν
but very you-should-be contentiously but we at-least may-we-keep-safe
ἡμῖν αὐτοῖς τὴν τριάδα, καὶ ὑπὸ τῆς τριάδος σωζοίμεθα,
for-us selves the trinity and by the trinity may-we-be-kept-safe
μένοντες εἰλικρινεῖς καὶ ἀπρόσκοποι, μέχρις ἀναδείξεως
remaining pure and without-offense until (the)-manifestation
τελεωτέρας τῶν ποθουμένων, ἐν αὐτῷ Χριστῷ τῷ
more-perfect of-the(-things) longed-for in himself Christ the
κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας· Ἀμήν.
lord of-us to-whom the glory unto the ages amen

Gregory answers the scriptural objections, giving the lofty to the Godhead and the lowly to the humanity. The Lord created me speaks of Wisdom's human birth, He begets me of the divine. The servant belongs to the dispensation; the until of his reign sets no end to it; his subjection, the cry of forsakenness, and the learning of obedience are ours, which he made his own; and God will be all in all when we are wholly godlike.

Ἐπειδή σοι τὰς μὲν ἐκ τῶν λογισμῶν στροφὰς καὶ 1
since for-you the indeed from the reasonings twists and
πλοκὰς ἱκανῶς διεσείσαμεν τῇ δυνάμει τοῦ πνεύματος,
tangles sufficiently we-have-shaken-out by-the power of-the spirit
τὰς δὲ παρὰ τῶν θείων γραφῶν ἐνστάσεις τε καὶ
the and from the divine writings objections both and
ἀντιθέσεις, αἷς οἱ τοῦ γράμματος ἱερόσυλοι καὶ τὸν νοῦν
antitheses with-which the of-the letter temple-robbers and the sense
τῶν γεγραμμένων κλέπτοντες τοὺς πολλοὺς σφετερίζονται,
of-the written(-things) stealing the many appropriate
καὶ τὴν ὁδὸν τῆς ἀληθείας ταράσσουσι, συλλήβδην μὲν
and the way of-the truth confuse in-sum indeed
ἤδη λελύκαμεν, καὶ οὐκ ἀμυδρῶς, ὡς ἐμαυτὸν πείθω, τοῖς
already we-have-loosed and not dimly as myself I-persuade for-the
εὐγνωμονεστέροις· τὰς μὲν ὑψηλοτέρας καὶ θεοπρεπεστέρας
more-reasonable the indeed loftier and more-God-befitting
φωνὰς προσνείμαντες τῇ θεότητι, τὰς δὲ ταπεινοτέρας
expressions having-assigned to-the godhead the and lowlier
καὶ ἀνθρωπικωτέρας τῷ νέῳ δι' ἡμᾶς Ἀδὰμ καὶ θεῷ
and more-human to-the new for us Adam and to-God
παθητῷ κατὰ τῆς ἁμαρτίας· τοῖς δὲ καθ' ἕκαστον οὐκ
passible against the sin to-the(-points) and in detail not
ἐπεξεληλύθαμεν, ἐπειγομένου τοῦ λόγου· σὺ δὲ καὶ τούτων
we-have-gone-through hastening the argument you but also of-these

ἐπιζητεῖς ἐν βραχεῖ τὰς λύσεις, τοῦ μὴ παρασύρεσθαι
seek in brief the solutions for-the not to-be-swept-away
λόγοις πιθανότητος, ἡμεῖς καὶ ταύτας κεφαλαιώσομεν
by-arguments of-plausibility we also these will-sum-up
εἰς ἀριθμοὺς διελόντες διὰ τὸ εὐμνημόνευτον.
into numbers having-divided because-of the easy-to-remember

2 Ἔστι γὰρ ἓν μὲν αὐτοῖς ἐκεῖνο καὶ λίαν πρόχειρον
is for one indeed to-them that and very ready-to-hand
τό· Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα
the (the)-lord created me (the)-beginning of-ways of-him for works
αὐτοῦ. πρὸς ὃ πῶς ἀπαντησόμεθα; οὐ Σολομῶντος
of-him to which how shall-we-reply not of-Solomon
κατηγορήσομεν; οὐ τὰ πρὶν ἀθετήσομεν διὰ τὴν
shall-we-accuse not the(-things) before shall-we-set-aside because-of the
τελευταίαν παράπτωσιν; οὐχὶ τῆς σοφίας αὐτῆς ἐροῦμεν
last fall not of-the wisdom itself shall-we-say
εἶναι τὸν λόγον, τῆς οἷον ἐπιστήμης καὶ τοῦ τεχνίτου
to-be the saying of-the as-it-were knowledge and of-the craftsman
λόγου, καθ' ὃν τὰ πάντα συνέστη; πολλὰ γὰρ ἡ
word according-to which the all(-things) were-constituted many(-things) for the
γραφὴ προσωποποιεῖν οἶδε καὶ τῶν ἀψύχων, ὡς τό· Ἡ
writing to-personify knows even of-the lifeless as the the
θάλασσα εἶπε τάδε καὶ τάδε· καί, Ἡ ἄβυσσος εἶπεν,
sea said these(-things) and these(-things) and the abyss said
οὐκ ἔστιν ἐν ἐμοί· καί, Οἱ οὐρανοὶ διηγούμενοι δόξαν θεοῦ·
not it-is in me and the heavens telling (the)-glory of-God
καὶ πάλιν ῥομφαία τι διακελεύεται, καὶ ὄρη καὶ
and again (a)-sword something is-commanded and mountains and
βουνοὶ λόγους ἐρωτῶνται σκιρτήσεως. τούτων οὐδέν φαμεν,
hills reasons are-asked of-leaping of-these nothing we-say
εἰ καί τισι τῶν πρὸ ἡμῶν ὡς ἰσχυρὰ τέθειται. ἀλλ'
if even to-some of-the before us as strong it-has-been-set but

ἔστω τοῦ σωτῆρος αὐτοῦ, τῆς ἀληθινῆς σοφίας, ὁ λόγος.
let-it-be of-the savior himself of-the true wisdom the saying
μικρὸν δὲ συνδιασκεψώμεθα. τί τῶν ὄντων ἀναίτιον;
little and let-us-consider-together what of-the beings (is)-uncaused
θεότης. οὐδεὶς γὰρ αἰτίαν εἰπεῖν ἔχει θεοῦ· ἢ τοῦτο ἂν
(the)-godhead no-one for (a)-cause to-say can of-God or this —
εἴη θεοῦ πρεσβύτερον. τίς δὲ τῆς ἀνθρωπότητος, ἣν
would-be than-God older what and of-the humanity which
δι᾽ ἡμᾶς ὑπέστη θεός, αἰτία; τὸ σωθῆναι πάντως ἡμᾶς.
for us undertook God (the)-cause the to-be-saved altogether us
τί γὰρ ἕτερον; ἐπειδὴ τοίνυν ἐνταῦθα καὶ τὸ Ἔκτισε
what for other since therefore here both the he-created
καὶ τὸ Γεννᾷ με σαφῶς εὑρίσκομεν, ἁπλοῦς ὁ λόγος.
and the he-begets me clearly we-find simple the account
ὃ μὲν ἂν μετὰ τῆς αἰτίας εὑρίσκωμεν, προσθῶμεν τῇ
what indeed — with the cause we-find let-us-assign to-the
ἀνθρωπότητι· ὃ δὲ ἁπλοῦν καὶ ἀναίτιον, τῇ θεότητι
humanity what and simple and uncaused to-the godhead
λογισώμεθα. ἆρ᾽ οὖν οὐ τὸ μὲν Ἔκτισεν εἴρηται μετὰ τῆς
let-us-reckon is-it then not the indeed he-created has-been-said with the
αἰτίας; Ἔκτισε γάρ μέ, φησιν, ἀρχὴν ὁδῶν αὐτοῦ εἰς
cause he-created for me he-says (the)-beginning of-ways of-him for
ἔργα αὐτοῦ. ἔργα δὲ χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις,
works of-him (the)-works and of-hands of-him truth and judgment
ὧν ἕνεκεν ἐχρίσθη θεότητι. χρίσις γὰρ αὕτη τῆς
of-which for-the-sake he-was-anointed with-godhead (the)-anointing for this of-the
ἀνθρωπότητος. τὸ δὲ Γεννᾷ με χωρὶς αἰτίας· ἢ δεῖξόν
humanity the but he-begets me without cause or show
τι τούτῳ προσκείμενον. τίς οὖν ἀντερεῖ λόγος, κτίσμα
something to-this attached what then will-oppose argument creature

μὲν λέγεσθαι τὴν σοφίαν κατὰ τὴν κάτω γέννησιν,
indeed to-be-called the wisdom according-to the lower generation
γέννημα δὲ κατὰ τὴν πρώτην καὶ πλέον ἄληπτον;
offspring but according-to the first and more incomprehensible
3 Τούτῳ δὲ ἕπεται καὶ τὸ δοῦλον ἀκούειν εὖ δουλεύοντα
with-this and follows also the servant to-hear well serving
πολλοῖς, καὶ τὸ μέγα εἶναι αὐτῷ κληθῆναι παῖδα θεοῦ.
many and the great to-be to-him to-be-called child of-God
τῷ ὄντι γὰρ ἐδούλευσε σαρκί, καὶ γενέσει, καὶ πάθεσι
in-the reality for he-served flesh and birth and passions
τοῖς ἡμετέροις, διὰ τὴν ἡμετέραν ἐλευθερίαν, καὶ πᾶσιν
the our because-of the our freedom and all
οἷς σέσωκεν ὑπὸ τῆς ἁμαρτίας κατεχομένους. τί δὲ
whom he-has-saved by the sin held-fast what and
μεῖζον ἀνθρώπου ταπεινότητι ἢ θεῷ πλακῆναι, καὶ
greater of-man for-lowliness than with-God to-be-entwined and
γενέσθαι θεὸν ἐκ τῆς μίξεως, καὶ τοσοῦτον ἐπισκεφθῆναι
to-become God from the mingling and so-much to-be-visited
ἀνατολῇ ἐξ ὕψους, ὥστε καὶ τὸ γεννώμενον ἅγιον
by-(the)-dayspring from on-high so-that also the being-born holy
υἱὸν ὑψίστου κληθῆναι, καὶ χαρισθῆναι αὐτῷ τὸ ὄνομα
son of-(the)-highest to-be-called and to-be-granted to-him the name
τὸ ὑπὲρ πᾶν ὄνομα; τοῦτο δὲ τί ποτε ἄλλο ἐστὶν ἢ
the above every name this and what ever other is than
θεός; καὶ τὸ πᾶν γόνυ κάμψαι τῷ κενωθέντι δι' ἡμᾶς,
God and the every knee to-bow to-the(-one) emptied for us
καὶ τὴν θείαν εἰκόνα δουλικῇ μορφῇ συγκεράσαντι, καὶ
and the divine image with-servile form having-blended and
γνῶναι πάντα οἶκον Ἰσραήλ, ὅτι καὶ κύριον αὐτὸν καὶ
to-know all (the)-house of-Israel that both lord him and

Χριστὸν ὁ θεὸς ἐποίησεν; γέγονε γὰρ ταῦτα ἐνεργείᾳ
Christ — God made became for these(-things) by-activity
μὲν τοῦ γεννήματος, εὐδοκίᾳ δὲ τοῦ γεννήτορος.
indeed of-the offspring by-good-pleasure and of-the begetter
Δεύτερον δὲ τί τῶν μεγίστων αὐτοῖς καὶ ἀμάχων; 4
second and what of-the greatest(-things) to-them and unassailable
δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρι τοῦδε, καὶ ὑπ᾽ οὐρανοῦ
must for him to-reign until this(-time) and by heaven
δεχθῆναι ἄχρι χρόνων ἀποκαταστάσεως, καὶ τὴν ἐκ δεξιῶν
to-be-received until times of-restoration and the at right(-hand)
καθέδραν ἔχειν, ἕως τῆς τῶν ἐχθρῶν ἐπικρατήσεως. τὸ
seat to-have until the of-the enemies mastery the
μετὰ τοῦτο δὲ τί; λῆξαι τῆς βασιλείας, ἢ τῶν οὐρανῶν
after this but what to-cease from-the kingdom or from-the heavens
ἀπωσθῆναι; τίνος παύσοντος; ἢ δι᾽ ἥν τινα τὴν αἰτίαν;
to-be-thrust-out who causing-to-cease or because-of what — the cause
ὡς τολμηρὸς ἐξηγητὴς σύ, καὶ λίαν ἀβασίλευτος. καὶ μὴν
as bold interpreter you even very unkinged and indeed
ἀκούεις τῆς βασιλείας αὐτοῦ μὴ εἶναι πέρας. ἀλλὰ τοῦτο
you-hear of-the kingdom of-him not to-be (an)-end but this
πάσχεις παρὰ τὸ μὴ γινώσκειν, ὅτι τὸ ἕως οὐ πάντως
you-suffer from the not to-know that the until not altogether
ἀντιδιαιρεῖται τῷ μέλλοντι, ἀλλὰ τὸ μέχρι τοῦδε μὲν
is-set-against to-the future but the up-to this indeed
τίθησι, τὸ ὑπὲρ τοῦτο δὲ οὐκ ἀναίνεται. ἢ πῶς νοήσεις,
it-sets the beyond this and not it-denies or how will-you-understand
ἵνα μὴ τἄλλα λέγω, τό· Ἔσομαι μεθ᾽ ὑμῶν ἕως τῆς
that not the-other(-things) I-may-say the I-will-be with you until the
συντελείας τοῦ αἰῶνος; ἆρ᾽ ὡς μετὰ τοῦτο οὐκ ἐσομένου;
consummation of-the age is-it as after this not going-to-be
καὶ τίς ὁ λόγος; οὐ μόνον δέ, ἀλλὰ καὶ παρὰ τὸ μὴ
and what the reason not only and but also from the not

διαιρεῖν τὰ σημαινόμενα. βασιλεύειν γὰρ λέγεται καθ' ἓν
to-distinguish the meanings to-reign for is-said in one
μέν, ὡς παντοκράτωρ, καὶ θελόντων, καὶ μή, βασιλεύς·
indeed as almighty both of-willing and not king
καθ' ἕτερον δέ, ὡς ἐνεργῶν τὴν ὑποταγήν, καὶ ὑπὸ
in another and as effecting the subjection and under
τὴν ἑαυτοῦ βασιλείαν τιθεὶς ἡμᾶς, ἑκόντας δεχομένους τὸ
the his-own kingdom placing us willingly receiving the
βασιλεύεσθαι. τῆς μὲν οὖν ἐκείνως νοουμένης βασιλείας
to-be-ruled of-the indeed then thus understood kingdom
οὐκ ἔσται πέρας. τῆς δευτέρας δὲ τί; τὸ λαβεῖν ἡμᾶς ὑπὸ
not will-be (an)-end of-the second but what the to-take us under
χεῖρα καὶ σωζομένους. τί γὰρ δεῖ τὴν ὑποταγὴν ἐνεργεῖν
hand and being-saved what for must the subjection to-effect
ὑποτεταγμένων; μεθ' ἣν ἀνίσταται κρίνων τὴν γῆν, καὶ
having-been-subjected after which he-rises judging the earth and
διαιρῶν τὸ σωζόμενον καὶ τὸ ἀπολλύμενον· μεθ' ἣν
dividing the being-saved and the perishing after which
ἵσταται θεὸς ἐν μέσῳ θεῶν, τῶν σωζομένων, διακρίνων
stands God in (the)-midst of-gods of-the being-saved distinguishing
καὶ διαστέλλων, τίνος ἕκαστος τιμῆς καὶ μονῆς ἄξιος.
and determining of-what each honor and abode (is)-worthy
5 Τούτῳ σύναπτε καὶ τὴν ὑποταγήν, ἣν ὑποτάσσεις τῷ
to-this join also the subjection which you-subject to-the
πατρὶ τὸν υἱόν. τί, λέγεις, ὡς νῦν οὐχ ὑποτεταγμένου;
father the son what do-you-say as now not having-been-subjected
δεῖται δὲ ὅλως ὑποταγῆναι θεῷ θεὸς ὤν; ὡς περὶ λῃστοῦ
needs and at-all to-be-subjected to-God God being as about robber
τινός, ἢ ἀντιθέου, ποιῇ τὸν λόγον. ἀλλ' οὕτω σκόπει·
some or adversary-of-God you-make the argument but thus consider
ὅτι ὥσπερ κατάρα ἤκουσε δι' ἐμὲ ὁ τὴν ἐμὴν
that as (a)-curse he-was-called because-of me the(-one) the my

λύων κατάραν· καὶ ἁμαρτία ὁ αἴρων τὴν ἁμαρτίαν
loosing curse and sin the(-one) taking-away the sin
τοῦ κόσμου· καὶ Ἀδὰμ ἀντὶ τοῦ παλαιοῦ γίνεται νέος·
of-the world and Adam instead-of the old becomes new
οὕτω καὶ τὸ ἐμὸν ἀνυπότακτον ἑαυτοῦ ποιεῖται, ὡς κεφαλὴ
thus also the my insubordinate his-own he-makes as head
τοῦ παντὸς σώματος. ἕως μὲν οὖν ἀνυπότακτος ἐγὼ
of-the whole body as-long-as indeed then insubordinate I
καὶ στασιώδης, τῇ τε ἀρνήσει τοῦ θεοῦ καὶ τοῖς πάθεσιν,
and rebellious by-the both denial — of-God and by-the passions
ἀνυπότακτος τὸ κατ᾽ ἐμὲ καὶ Χριστὸς λέγεται. ὅταν
insubordinate the as-regards me also Christ is-called whenever
δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, — ὑποταγήσεται δὲ καὶ
and are-subjected to-him the all(-things) they-will-be-subjected and both
τῇ ἐπιγνώσει καὶ τῇ μεταποιήσει, — τότε καὶ αὐτὸς
by-the knowledge and by-the transformation then also himself
τὴν ὑποταγὴν πεπλήρωκε, προσάγων ἐμὲ τὸν σεσωσμένον.
the subjection has-fulfilled bringing me the saved
τοῦτο γὰρ ἡ ὑποταγὴ Χριστοῦ, κατά γε τὸν ἐμὸν
this for the subjection of-Christ according-to at-least the my
λόγον, ἡ τοῦ πατρικοῦ θελήματος πλήρωσις. ὑποτάσσει δὲ
account the of-the paternal will fulfillment subjects and
καὶ υἱὸς πατρί, καὶ υἱῷ πατήρ· ὁ μὲν ἐνεργῶν,
also (the)-son to-(the)-father and to-(the)-son (the)-father the(-one) indeed acting
ὁ δὲ εὐδοκῶν, ὃ καὶ πρότερον εἴπομεν. καὶ οὕτω τὸ
the(-other) and approving which also before we-said and thus the
ὑποτεταγμένον ὁ ὑποτάξας θεῷ παρίστησιν, ἑαυτοῦ
subjected the(-one) having-subjected to-God presents his-own
ποιούμενος τὸ ἡμέτερον. τοιοῦτον εἶναί μοι φαίνεται καὶ
making the our such to-be to-me it-seems also
τό· Ὁ θεός, ὁ θεός μου, πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές
the — God — God of-me attend to-me for what did-you-forsake

με; οὐ γὰρ αὐτὸς ἐγκαταλέλειπται, ἢ ὑπὸ τοῦ πατρός, ἢ
me not for he has-been-forsaken either by the father or
ὑπὸ τῆς ἑαυτοῦ θεότητος, ὃ δοκεῖ τισίν, ὡς ἂν φοβουμένης
by the his-own godhead as seems to-some as-if — fearing
τὸ πάθος, καὶ διὰ τοῦτο συστελλομένης ἀπὸ τοῦ
the suffering and because-of this withdrawing from the(-one)
πάσχοντος. τίς γὰρ ἢ γεννηθῆναι κάτω τὴν ἀρχήν, ἢ ἐπὶ
suffering who for either to-be-born below in-the first(-place) or onto
τὸν σταυρὸν ἀνελθεῖν ἠνάγκασεν; ἐν ἑαυτῷ δέ, ὅπερ εἶπον,
the cross to-go-up compelled in himself but as I-said
τυποῖ τὸ ἡμέτερον. ἡμεῖς γὰρ ἦμεν οἱ ἐγκαταλελειμμένοι
he-represents the our we for were those forsaken
καὶ παρεωραμένοι πρότερον, εἶτα νῦν προσειλημμένοι καὶ
and disregarded before then now taken-up and
σεσωσμένοι τοῖς τοῦ ἀπαθοῦς πάθεσιν· ὥσπερ καὶ τὴν
saved by-the of-the impassible sufferings as also the
ἀφροσύνην ἡμῶν καὶ τὸ πλημμελὲς οἰκειούμενος τὰ
folly our and the offense appropriating the(-words)
ἑξῆς διὰ τοῦ ψαλμοῦ φησίν· ἐπειδὴ προδήλως εἰς
following through the psalm he-says since manifestly to
Χριστὸν ὁ εἰκοστὸς πρῶτος ψαλμὸς ἀναφέρεται.
Christ the twentieth first psalm is-referred

6 Τῆς δὲ αὐτῆς ἔχεται θεωρίας καὶ τὸ μαθεῖν αὐτὸν τὴν
of-the and same clings contemplation also the to-learn him the
ὑπακοὴν ἐξ ὧν ἔπαθεν, ἥ τε κραυγή, καὶ τὰ δάκρυα, καὶ
obedience from what he-suffered the and cry and the tears and
τὸ ἱκετεῦσαι, καὶ τὸ εἰσακουσθῆναι, καὶ τὸ εὐλαβές· ἃ
the to-supplicate and the to-be-heard and the reverence which
δραματουργεῖται καὶ πλέκεται θαυμασίως ὑπὲρ ἡμῶν. ὡς
are-dramatized and are-woven wonderfully for us as
μὲν γὰρ λόγος, οὔτε ὑπήκοος ἦν, οὔτε ἀνήκοος. τῶν
indeed for word neither obedient he-was nor disobedient of-the(-ones)

γὰρ ὑπὸ χεῖρα ταῦτα, καὶ τῶν δευτέρων, τὸ μὲν τῶν
for under hand these(-things) and of-the second(-ones) the indeed of-the
εὐγνωμονεστέρων, τὸ δὲ τῶν ἀξίων κολάσεως. ὡς δὲ
more-reasonable the(-other) and of-the worthy of-punishment as but
δούλου μορφή, συγκαταβαίνει τοῖς ὁμοδούλοις καὶ δούλοις,
of-servant form he-condescends to-the fellow-servants and servants
καὶ μορφοῦται τὸ ἀλλότριον, ὅλον ἐν ἑαυτῷ ἐμὲ φέρων
and takes-the-form-of the strange whole in himself me bearing
μετὰ τῶν ἐμῶν, ἵνα ἐν ἑαυτῷ δαπανήσῃ τὸ χεῖρον, ὡς
with the my(-things) that in himself he-may-consume the worse as
κηρὸν πῦρ, ἢ ὡς ἀτμίδα γῆς ἥλιος, κἀγὼ μεταλάβω
wax fire or as vapor of-earth (the)-sun and-I may-partake
τῶν ἐκείνου διὰ τὴν σύγκρασιν. διὰ τοῦτο ἔργῳ
of-the(-things) of-him through the mingling because-of this by-deed
τιμᾷ τὴν ὑπακοήν, καὶ πειρᾶται ταύτης ἐκ τοῦ παθεῖν.
he-honors the obedience and tests it from the to-suffer
οὐ γὰρ ἱκανὸν ἡ διάθεσις, ὥσπερ οὐδὲ ἡμῖν, εἰ μὴ καὶ
not for sufficient the disposition as not-even for-us if not also
διὰ τῶν πραγμάτων χωρήσαιμεν. ἔργον γὰρ ἀπόδειξις
through the deeds we-should-proceed (the)-deed for (the)-proof
διαθέσεως. οὐ χεῖρον δὲ ἴσως κἀκεῖνο ὑπολαβεῖν, ὅτι
of-disposition not worse and perhaps that-too to-suppose that
δοκιμάζει τὴν ἡμετέραν ὑπακοήν, καὶ πάντα μετρεῖ τοῖς
he-tests the our obedience and all(-things) measures by-the
ἑαυτοῦ πάθεσι τέχνῃ φιλανθρωπίας, ὥστε ἔχειν εἰδέναι
his-own sufferings by-(the)-art of-humanity so-that to-be-able to-know
τοῖς ἑαυτοῦ τὰ ἡμέτερα, καὶ ποσὸν μὲν ἀπαιτούμεθα,
by-the his-own the our(-things) and how-much indeed we-are-asked
ποσὸν δὲ συγχωρούμεθα, λογιζομένης μετὰ τοῦ πάσχειν
how-much and we-are-pardoned reckoning with the to-suffer
καὶ τῆς ἀσθενείας. εἰ γὰρ τὸ φῶς ἐδιώχθη διὰ τὸ
also the weakness if for the light was-persecuted because-of the

πρόβλημα, φαῖνον ἐν τῇ σκοτίᾳ, τῷ βίῳ τούτῳ, ὑπὸ τῆς
veil shining in the darkness the life this by the
ἄλλης σκοτίας, τοῦ πονηροῦ λέγω καὶ τοῦ πειραστοῦ,
other darkness of-the evil(-one) I-mean and of-the tempter
τὸ σκότος πόσον, ὡς ἀσθενέστερον; καὶ τί θαυμαστόν,
the darkness how-much as weaker and what wonderful
εἰ ἐκείνου διαφυγόντος παντάπασιν ἡμεῖς ποσῶς καὶ
if he having-escaped altogether we somewhat even
καταληφθείημεν; μεῖζον γὰρ ἐκείνῳ τὸ διωχθῆναι, ἤπερ ἡμῖν
should-be-overtaken greater for for-him the to-be-persecuted than for-us
τὸ καταληφθῆναι, παρὰ τοῖς ὀρθῶς ταῦτα λογιζομένοις.
the to-be-overtaken among those rightly these(-things) reckoning
ἔτι δὲ προσθήσω τοῖς εἰρημένοις ἐκεῖνο, ἐνθυμηθεὶς τό·
yet and I-will-add to-the said(-things) that having-considered the
Ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς
in which for he-has-suffered himself having-been-tempted he-is-able those
πειραζομένοις βοηθῆσαι, σαφῶς πρὸς τὴν αὐτὴν φέρον
being-tempted to-help clearly to the same tending
διάνοιαν. ἔσται δὲ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν ἐν τῷ καιρῷ
thought will-be and — God the all(-things) in all in the time
τῆς ἀποκαταστάσεως· οὐχ ὁ πατήρ, πάντως εἰς αὐτὸν
of-the restoration not the father altogether into him
ἀναλυθέντος τοῦ υἱοῦ, ὥσπερ εἰς πυρὰν μεγάλην λαμπάδος
resolved the son as into (a)-pyre great of-(a)-torch
πρὸς καιρὸν ἀποσπασθείσης, εἶτα συναφθείσης, — μηδὲ
for (a)-time drawn-away then joined not-even
γὰρ Σαβέλλιοι τῷ ῥητῷ τούτῳ παραφθειρέσθωσαν, —
for Sabellians by-the saying this let-them-be-corrupted
ἀλλ' ὅλος θεός, ὅταν μηκέτι πολλὰ ὦμεν, ὥσπερ νῦν
but whole God whenever no-longer many we-are as now
τοῖς κινήμασι καὶ τοῖς πάθεσιν, οὐδὲν ὅλως θεοῦ, ἢ
by-the motions and by-the passions nothing at-all of-God or

ὀλίγον, ἐν ἡμῖν αὐτοῖς φέροντες, ἀλλ᾽ ὅλοι θεοειδεῖς, ὅλου
little in us selves bearing but wholly godlike of-whole
θεοῦ χωρητικοὶ καὶ μόνου. τοῦτο γὰρ ἡ τελείωσις, πρὸς
God capable and of-only this for the perfection toward
ἣν σπεύδομεν· τεκμηριοῖ δὲ μάλιστα Παῦλος αὐτός. ὃ
which we-hasten attests and most-of-all Paul himself what
γὰρ ἐνταῦθα περὶ θεοῦ φησὶν ἀορίστως, ἀλλαχοῦ σαφῶς
for here about God he-says indefinitely elsewhere clearly
περιορίζει Χριστῷ. τί λέγων; Ὅπου οὐκ ἔνι Ἕλλην, οὐδὲ
he-defines to-Christ what saying where not is Greek nor
Ἰουδαῖος, περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης,
Jew circumcision and uncircumcision barbarian Scythian
δοῦλος, ἐλεύθερος· ἀλλὰ τὰ πάντα καὶ ἐν πᾶσι Χριστός.
slave free but the all(-things) and in all Christ

XIII · THE OBJECTIONS, THIRD TO SIXTH

Greater speaks of the cause, equal of the nature, and my God is said of the visible man. Receiving life, judgment, and glory belongs to the humanity, or was the Son's from the beginning by nature. That the Son can do nothing of himself is explained by the senses of cannot: he does what he sees the Father doing, not copying another world, but with equal authority.

Τρίτον ἀρίθμει τό· μεῖζον· τέταρτον τό· θεόν μου καὶ θεὸν 7
third count the greater fourth the God of-me and God
ὑμῶν. εἰ μὲν οὖν μείζων μὲν ἐλέγετο, μὴ ἴσος δέ, τάχα
of-you if indeed then greater indeed he-was-called not equal and perhaps
ἂν ἦν τι τοῦτο αὐτοῖς· εἰ δὲ ἀμφότερα σαφῶς
— it-would-be something this to-them if and both clearly
εὑρίσκομεν, τί φήσουσιν οἱ γεννάδαι; τί τὸ ἰσχυρὸν
we-find what will-they-say the noble(-ones) what the strong(-point)

αὐτοῖς; πῶς συμβήσεται τὰ ἀσύμβατα; τὸ γὰρ αὐτὸ
to-them how will-agree the irreconcilable(-things) the for same
τοῦ αὐτοῦ ὁμοίως μεῖζον καὶ ἴσον εἶναι τῶν ἀδυνάτων·
than-the same alike greater and equal to-be of-the impossible(-things)
ἢ δῆλον ὅτι τὸ μεῖζον μέν ἐστι τῆς αἰτίας, τὸ δὲ ἴσον τῆς
or clear that the greater indeed is of-the cause the and equal of-the
φύσεως; καὶ τοῦτο ὑπὸ πολλῆς εὐγνωμοσύνης ὁμολογοῦμεν
nature and this with much goodwill confess
ἡμεῖς. τάχα δ' ἂν εἴποι τις ἄλλος τῷ ἡμετέρῳ λόγῳ
we perhaps and — might-say someone else to-the our argument
προσφιλονεικῶν, μὴ ἔλαττον εἶναι τὸ ἐκ τοιαύτης αἰτίας
contending-further not less to-be the from such (a)-cause
εἶναι τοῦ ἀναιτίου. τῆς τε γὰρ τοῦ ἀνάρχου δόξης
to-be than-the uncaused of-the both for of-the beginningless glory
μετέχοι ἄν, ὅτι ἐκ τοῦ ἀνάρχου· καὶ πρόσεστιν ἡ
he-would-partake — because from the beginningless and is-added the
γέννησις, πρᾶγμα τοσοῦτον, τοῖς γε νοῦν ἔχουσι, καὶ
generation (a)-thing so-great to-those at-least sense having and
οὕτω σεβάσμιον. τὸ γὰρ δὴ λέγειν, ὅτι τοῦ κατὰ
so venerable the for indeed to-say that than-the according-to
τὸν ἄνθρωπον νοουμένου μείζων, ἀληθὲς μέν, οὐ μέγα δέ.
the man understood greater true indeed not great but
τί γὰρ τὸ θαυμαστόν, εἰ μείζων ἀνθρώπου θεός; ταῦτα
what for the wonderful if greater than-man God these(-things)
μὲν οὖν ἡμῖν εἰρήσθω πρὸς τοὺς τὸ μεῖζον κομπάζοντας.
indeed then by-us let-be-said against those the greater boasting
8 Θεὸς δὲ λέγοιτο ἄν, οὐ τοῦ Λόγου, τοῦ ὁρωμένου δέ· πῶς
God and may-be-called — not of-the Word of-the seen but how
γὰρ ἂν εἴη τοῦ κυρίως θεοῦ θεός; ὥσπερ καὶ πατήρ, οὐ
for — would-he-be of-the properly God God as also father not
τοῦ ὁρωμένου, τοῦ λόγου δέ. καὶ γὰρ ἦν διπλοῦς· ὥστε
of-the seen of-the word but and for he-was double so-that

τὸ μὲν κυρίως ἐπ᾽ ἀμφοῖν, τὸ δὲ οὐ κυρίως, ἐναντίως
the(-one) indeed properly in both the(-other) and not properly oppositely
ἢ ἐφ᾽ ἡμῶν ἔχει. ἡμῶν γὰρ κυρίως μὲν θεός, οὐ κυρίως
than in us it-is of-us for properly indeed God not properly
δὲ πατήρ. καὶ τοῦτό ἐστιν ὃ ποιεῖ τοῖς αἱρετικοῖς τὴν
and father and this is what makes for-the heretics the
πλάνην, ἡ τῶν ὀνομάτων ἐπίζευξις, ἐπαλλαττομένων τῶν
error the of-the names joining being-interchanged the
ὀνομάτων διὰ τὴν σύγκρασιν. σημεῖον δέ· ἡνίκα αἱ φύσεις
names because-of the mingling (a)-sign and when the natures
διίστανται, ταῖς ἐπινοίαις συνδιαιρεῖται καὶ τὰ ὀνόματα.
are-distinguished by-the conceptions are-divided-with also the names
Παύλου λέγοντος ἄκουσον· Ἵνα ὁ θεὸς τοῦ κυρίου ἡμῶν
Paul saying hear that — God of-the lord our
Ἰησοῦ Χριστοῦ, ὁ πατὴρ τῆς δόξης. Χριστοῦ μὲν θεός, τῆς
Jesus Christ the father of-the glory of-Christ indeed God of-the
δὲ δόξης πατήρ. εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ᾽ οὐ τῇ
and glory father if for even the both-together one but not by-the
φύσει, τῇ δὲ συνόδῳ τούτων. τί ἂν γένοιτο γνωριμώτερον;
nature by-the but concurrence of-these what — could-be more-known
Πέμπτον λεγέσθω τὸ λαμβάνειν αὐτὸν ζωήν, ἢ κρίσιν, ἢ 9
fifth let-be-said the to-receive him life or judgment or
κληρονομίαν ἐθνῶν, ἢ ἐξουσίαν πάσης σαρκός, ἢ δόξαν, ἢ
inheritance of-nations or authority of-all flesh or glory or
μαθητάς, ἢ ὅσα λέγεται. καὶ τοῦτο τῆς ἀνθρωπότητος.
disciples or whatever is-said also this of-the humanity
εἰ δὲ καὶ τῷ θεῷ δοίης, οὐκ ἄτοπον. οὐ γὰρ ὡς
if and even — to-God you-should-give not absurd not for as
ἐπίκτητα δώσεις, ἀλλ᾽ ὡς ἀπ᾽ ἀρχῆς συνυπάρχοντα,
acquired(-things) you-will-give but as from beginning coexisting
καὶ λόγῳ φύσεως, ἀλλ᾽ οὐ χάριτος.
and by-reason of-nature but not of-grace

10 Ἕκτον τιθέσθω τὸ μὴ δύνασθαι τὸν υἱὸν ἀφ᾽ ἑαυτοῦ ποιεῖν
sixth let-be-set the not to-be-able the son from himself to-do
μηδέν, ἐὰν μή τι βλέπῃ τὸν πατέρα ποιοῦντα. τοῦτο
anything unless — something he-sees the father doing this
δὲ τοιοῦτόν ἐστιν· οὐ τῶν καθ᾽ ἕνα τρόπον λεγομένων
and such is not of-the(-things) in one way said
τὸ δύνασθαι ἢ μὴ δύνασθαι· πολύσημον δέ. τὸ μὲν
the to-be-able or not to-be-able (is)-of-many-meanings but the(-one) indeed
γάρ τι λέγεται κατὰ δυνάμεως ἔλλειψιν, καί ποτε,
for something is-said according-to of-power lack and sometimes
καὶ πρός τι, ὡς τὸ μὴ δύνασθαι τὸ παιδίον ἀθλεῖν,
also relative-to something as the not to-be-able the child to-wrestle
ἢ τὸ σκυλάκιον βλέπειν, ἢ πρὸς τόνδε διαγωνίζεσθαι.
or the puppy to-see or against this(-man) to-contend
ἀθλήσει γὰρ ἴσως ποτέ, καὶ ὄψεται, καὶ διαγωνιεῖται
he-will-wrestle for perhaps sometime and will-see and will-contend
πρὸς τόνδε, κἂν πρὸς ἕτερον ἀδυνάτως ἔχῃ. τὸ δέ,
against this(-man) even-if against another impotently he-be the(-other) and
ὡς ἐπὶ πλεῖστον, ὡς τό· Οὐ δύναται πόλις κρυβῆναι ἐπ᾽
as for (the)-most-part as the not can (a)-city be-hidden on
ἄνω ὄρους κειμένη. τάχα γὰρ ἂν καὶ κρυφθείη τις,
above (a)-mountain lying perhaps for — even might-be-hidden one
ἐπιπροσθοῦντος μείζονος. τὸ δέ, ὡς οὐκ εὔλογον· Οὐ
blocking (a)-greater the(-other) and as not reasonable not
δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾽ ὅσον ἔνδημος
can the sons of-the bridechamber fast for as-long-as present
ὁ νυμφίος· εἴτε ὁ σωματικῶς ὁρώμενος· οὐ γὰρ
the bridegroom whether the(-one) bodily seen not for
κακοπαθείας, ἀλλ᾽ εὐφροσύνης καιρὸς ὁ τῆς ἐπιδημίας· εἴτε
of-hardship but of-gladness (the)-time the of-the sojourn or
ὁ ὡς λόγος νοούμενος. τί γὰρ δεῖ νηστεύειν σωματικῶς
the(-one) as word understood why for must to-fast bodily

τοὺς λόγῳ καθαιρομένους; τὸ δέ, ὡς ἀβούλητον, ὡς
those by-the-word being-purified the(-other) and as unwilled as
τὸ μὴ δύνασθαι ἐκεῖ σημεῖα ποιῆσαι, διὰ τὴν ἀπιστίαν
the not to-be-able there signs to-do because-of the unbelief
τῶν δεχομένων. ἐπειδὴ γὰρ τοῦ συναμφοτέρου χρεία πρὸς
of-those receiving since for of-the both need for
τὰς ἰάσεις, καὶ τῆς τῶν θεραπευομένων πίστεως, καὶ
the healings both of-the of-those being-healed faith and
τῆς τοῦ θεραπευτοῦ δυνάμεως, οὐκ ἐνεδέχετο τὸ ἕτερον
of-the of-the healer power not it-was-possible the one
τοῦ συζύγου ἐλλείποντος. οὐκ οἶδα δέ, εἰ μὴ καὶ τοῦτο
of-the pair lacking not I-know and if not also this
τῷ εὐλόγῳ προσθετέον· οὐ γὰρ εὔλογος ἴασις τοῖς
to-the reasonable must-be-added not for reasonable (a)-healing for-those
βλαβησομένοις ἐξ ἀπιστίας. τοῦ δὲ αὐτοῦ λόγου καὶ τό·
going-to-be-harmed from unbelief of-the and same reasoning also the
Οὐ δύναται ὁ κόσμος μὴ μισεῖν ὑμᾶς· καί, Πῶς δύνασθε
not can the world not hate you and how can-you
ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες; πῶς γὰρ ἀδύνατόν τι
good(-things) speak evil being how for impossible any
τούτων, ἢ ὅτι ἀβούλητον; ἔστι δέ τι καὶ τοιοῦτον
of-these except because unwilled is but something also such
ἐν τοῖς λεγομένοις, ὃ τῇ φύσει μὲν ἀδύνατον, θεῷ
among the said(-things) which by-the nature indeed impossible to-God
δὲ δυνατὸν βουληθέντι, ὡς τὸ μὴ δύνασθαι τὸν αὐτὸν
but possible having-willed as the not to-be-able the same
γεννηθῆναι δεύτερον· καὶ ῥαφὶς οὐκ εἰσδεχομένη κάμηλον.
to-be-born second(-time) and (a)-needle not admitting (a)-camel
τί γὰρ ἂν καὶ κωλύσειε γενέσθαι ταῦτα θεοῦ θελήσαντος;
what for — also would-prevent to-happen these(-things) God having-willed

11 Τούτων δὲ πάντων ἐκτὸς τὸ παντελῶς ἀδύνατον καὶ
of-these and all outside the utterly impossible and
ἀνεπίδεκτον, ὡς ὃ νῦν ἐξετάζομεν. ὡς γὰρ ἀδύνατον
inadmissible as what now we-examine as for impossible
εἶναι λέγομεν πονηρὸν εἶναι θεόν, ἢ μὴ εἶναι· τοῦτο γὰρ
to-be we-say evil to-be God or not to-be this for
ἀδυναμίας ἂν εἴη μᾶλλον θεοῦ, ἥπερ δυνάμεως· ἢ τὸ μὴ
of-impotence — would-be rather of-God than of-power or the not
ὂν εἶναι, ἢ τὰ δὶς δύο καὶ τέσσαρα εἶναι καὶ δέκα· οὕτως
being to-be or the twice two both four to-be and ten thus
ἀδύνατον καὶ ἀνεγχώρητον ποιεῖν τι τὸν υἱόν, ὧν οὐ
impossible and not-allowable to-do anything the son of-what not
ποιεῖ ὁ πατήρ. πάντα γὰρ ὅσα ἔχει ὁ πατήρ, τοῦ υἱοῦ
does the father all for whatever has the father of-the son
ἐστίν· ὡς ἔμπαλιν τὰ τοῦ υἱοῦ τοῦ πατρός. οὐδὲν
is as conversely the(-things) of-the son of-the father nothing
οὖν ἴδιον, ὅτι κοινά. ἐπεὶ καὶ αὐτὸ τὸ εἶναι κοινὸν καὶ
then proper because common since also itself the to-be common and
ὁμότιμον, εἰ καὶ τῷ υἱῷ παρὰ τοῦ πατρός. καθ' ὃ
equal-in-honor if even to-the son from the father according-to which
καὶ λέγεται καὶ τό· Ἐγὼ ζῶ διὰ τὸν πατέρα· οὐχ ὡς
also is-said also the I live because-of the father not as
ἐκεῖθεν αὐτῷ τοῦ ζῆν καὶ τοῦ εἶναι συνεχομένου, ἀλλ' ὡς
from-there to-him the to-live and the to-be being-held-together but as
ἐκεῖθεν ὑπάρχοντος ἀχρόνως καὶ ἀναιτίως. βλέπει δὲ τὸν
from-there existing timelessly and without-cause he-sees and the
πατέρα ποιοῦντα πῶς, καὶ οὕτω ποιεῖ; ἆρα ὡς οἱ τὰς
father doing how and thus he-does is-it as those the
μορφὰς γράφοντες καὶ τὰ γράμματα, διὰ τὸ μὴ εἶναι
shapes painting and the letters because-of the not to-be
τῆς ἀληθείας ἄλλως ἐπιτυχεῖν, εἰ μὴ πρὸς τὸ ἀρχέτυπον
the truth otherwise to-attain if not to the archetype

βλέποντας, κἀκεῖθεν χειραγωγουμένους; καὶ πῶς ἡ
looking and-from-there being-led-by-the-hand and how the
σοφία δεῖται τοῦ διδάξοντος, ἢ οὐ ποιήσει τι
wisdom needs of-the(-one) going-to-teach or not will-it-do anything
μὴ διδασκομένη; ποιεῖ δὲ πῶς ὁ πατήρ, ἢ πεποίηκεν;
not being-taught does and how the father or has-he-made
ἆρα ἄλλον προυπέστησε κόσμον ἀντὶ τοῦ παρόντος,
is-it another did-he-pre-establish world instead-of the present
καὶ ὑποστήσει τὸν μέλλοντα, καὶ πρὸς ἐκεῖνα βλέπων
and will-he-establish the future and to those looking
ὁ υἱός, τὸν μὲν ὑπέστησε, τὸν δὲ ὑποστήσει;
the son the(-one) indeed established the(-other) and will-establish
τέσσαρες οὖν κόσμοι κατὰ τὸν λόγον τοῦτον, οἱ
four then worlds according-to the argument this the(-ones)
μὲν πατρός, οἱ δὲ υἱοῦ ποιήματα. τῆς ἀλογίας.
indeed of-father the(-others) and of-son works of-the unreason
καθαίρει δὲ λέπρας, καὶ δαιμόνων καὶ νόσων ἀπαλλάττει,
he-cleanses and leprosies and from-demons and from-diseases he-frees
καὶ ζωοποιεῖ νεκρούς, καὶ ὑπὲρ θαλάσσης ὁδεύει, καὶ
and makes-alive (the)-dead and over (the)-sea walks and
τἄλλα ποιεῖ ὅσα πεποίηκεν, ἐπὶ τίνος ἢ
the-other(-things) does as-many-as he-has-done in-the-case-of whom or
πότε τοῦ πατρὸς ταῦτα προενεργήσαντος; ἢ δῆλον ὅτι
when of-the father these(-things) having-first-performed or clear that
τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται μὲν ὁ
of-the same things the types imprints indeed the
πατήρ, ἐπιτελεῖ δὲ ὁ λόγος, οὐ δουλικῶς, οὐδὲ ἀμαθῶς,
father accomplishes and the word not servilely nor ignorantly
ἀλλ' ἐπιστημονικῶς τε καὶ δεσποτικῶς, καὶ οἰκειότερον
but knowingly both and masterfully and more-properly
εἰπεῖν, πατρικῶς; οὕτω γὰρ ἐγὼ δέχομαι τὸ ἅπερ ὑπὸ
to-say paternally thus for I take the whatever by

τοῦ πατρὸς γίνεται, ταῦτα καὶ τὸν υἱὸν ὁμοίως ποιεῖν·
the father is-done these(-things) also the son likewise to-do
οὐ κατὰ τὴν τῶν γινομένων ὁμοίωσιν, ἀλλὰ
not according-to the of-the(-things) made likeness but
κατὰ τὴν τῆς ἐξουσίας ὁμοτιμίαν. καὶ τοῦτο ἂν εἴη
according-to the of-the authority equality-of-honor and this — would-be
τὸ ἕως ἄρτι καὶ τὸν πατέρα ἐργάζεσθαι, καὶ τὸν υἱόν·
the until now both the father to-work and the son
οὐ μόνον δέ, ἀλλὰ καὶ τὴν ὧν πεποιήκασιν οἰκονομίαν
not only and but also the of-what they-have-made dispensation
τε καὶ συντήρησιν, ὡς δηλοῖ τὸ ποιεῖσθαι τοὺς ἀγγέλους
both and preservation as shows the to-be-made the angels
αὐτοῦ πνεύματα· καὶ θεμελιοῦσθαι τὴν γῆν ἐπὶ τὴν
of-him spirits and to-be-founded the earth upon the
ἀσφάλειαν αὐτῆς· ἅπαξ ἡδρασμένα τε καὶ γενόμενα· καὶ
stability of-it once established both and having-come-to-be and
στερεοῦσθαι βροντήν, καὶ κτίζεσθαι πνεῦμα, ὧν ἅπαξ
to-be-made-firm thunder and to-be-created wind of-which once
μὲν ὁ λόγος ὑπέστη, συνεχὴς δὲ καὶ νῦν ἡ ἐνέργεια.
indeed the principle subsisted continuous but even now the activity

The Son came down not to do his own will, which is not other than the Father's. The only true God excludes false gods, not the Son, and the saying that none is good but God answers the tempting lawyer, who credited him with goodness as a man. His intercession is his mediation as man, without servile prostration. His ignorance of the last day is said of the humanity, or referred to the Father as cause, and the rest of the lowly words belong to the suffering nature.

Ἕβδομον λεγέσθω τὸ καταβεβηκέναι ἐκ τοῦ οὐρανοῦ 12
seventh let-be-said the to-have-come-down from the heaven
τὸν υἱόν, οὐχ ἵνα ποιῇ τὸ θέλημα τὸ ἑαυτοῦ, ἀλλὰ
the son not that he-may-do the will the his-own but
τὸ τοῦ πέμψαντος. εἰ μὲν οὖν μὴ παρὰ τοῦ
the of-the(-one) having-sent if indeed then not by the(-one)
κατεληλυθότος αὐτοῦ ταῦτα ἐλέγετο, εἴπομεν ἂν
having-come-down himself these(-things) were-said we-would-have-said —
ὡς παρὰ τοῦ ἀνθρώπου τυποῦσθαι τὸν λόγον, οὐ τοῦ
as from the man to-be-shaped the saying not of-the
κατὰ τὸν σωτῆρα νοουμένου, — τὸ γὰρ ἐκείνου θέλειν
according-to the savior understood the for his willing
οὐδὲ ὑπεναντίον θεῷ, θεωθὲν ὅλον, — ἀλλὰ τοῦ
not-even opposed to-God having-been-deified wholly but of-the
καθ' ἡμᾶς· ὡς τοῦ ἀνθρωπίνου θελήματος οὐ πάντως
in us as of-the human will not altogether
ἑπομένου τῷ θείῳ, ἀλλ' ἀντιπίπτοντος, ὡς τὰ πολλά,
following the divine but resisting as the many(-times)
καὶ ἀντιπαλαίοντος. καὶ γὰρ ἐκεῖνο οὕτως ἐνοήσαμεν τό·
and wrestling-against and for that thus we-understood the
Πάτερ, εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο·
Father if possible let-pass from me the cup this
πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλὰ τὸ σὸν ἰσχυέτω θέλημα.
however not what I will but the your let-prevail will

οὔτε γάρ, εἰ δυνατὸν ἢ μή, τοῦτο ἀγνοεῖν ἐκεῖνον
neither for whether possible or not this to-be-ignorant-of him
εἰκός, οὔτε τῷ θελήματι ἀντεισφέρειν τὸ θέλημα. ἐπεὶ δὲ
likely nor to-the will to-oppose the will since and
ὡς παρὰ τοῦ προσλαβόντος ὁ λόγος, τοῦτο γὰρ τὸ
as from the(-one) having-assumed the saying this for the
κατεληλυθός, οὐ τοῦ προσλήμματος, οὕτως ἀπαντησόμεθα.
having-come-down not of-the assumed(-nature) thus we-shall-answer
οὐχ ὡς ὄντος ἰδίου τῷ υἱῷ θελήματος παρὰ τὸ τοῦ
not as being own to-the son will beside the of-the
πατρός, ἀλλ᾽ ὡς οὐκ ὄντος ὁ λόγος· ἵν᾽ ᾖ τοιοῦτον
father but as not being the saying that it-may-be such
τὸ συναγόμενον· Οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν,
the conclusion not that I-may-do the will the mine
οὐδὲ γάρ ἐστι τὸ ἐμὸν τοῦ σοῦ κεχωρισμένον, ἀλλὰ
not-even for is the mine from-the yours separated but
τὸ κοινὸν ἐμοῦ τε καὶ σοῦ, ὧν ὡς μία θεότης, οὕτω
the common of-me both and of-you whose as one godhead thus
καὶ βούλησις. πολλὰ γὰρ τῶν οὕτω λεγομένων
also will many(-things) for of-the(-things) thus said
ἀπὸ κοινοῦ λέγεται, καὶ οὐ θετικῶς, ἀρνητικῶς δέ, ὡς
in common are-said and not positively negatively but as
τό· Οὐ γὰρ ἐκ μέτρου δίδωσιν ὁ θεὸς τὸ πνεῦμα· οὔτε
the not for by measure gives — God the spirit neither
γὰρ δίδωσιν, οὔτε μεμετρημένον, οὐ γὰρ μετρεῖται παρὰ
for he-gives nor measured not for is-measured by
θεοῦ θεός· καὶ τό· Οὔτε ἡ ἁμαρτία μου, οὔτε ἡ ἀνομία
God God and the neither the sin my nor the lawlessness
μου· οὐ γὰρ ὡς οὔσης ὁ λόγος, ἀλλ᾽ ὡς οὐκ οὔσης·
my not for as being the saying but as not being
καὶ πάλιν τό· Οὐ διὰ τὰς δικαιοσύνας ἡμῶν, ἃς
and again the not because-of the righteousnesses our which

ἐποιήσαμεν· οὐ γὰρ ἐποιήσαμεν. δῆλον δὲ τοῦτο κἂν τοῖς
we-did not for we-did clear and this even-in the
ἑξῆς· τί γάρ, φησι, τὸ θέλημα τοῦ πατρός; ἵνα
following(-words) what for says the will of-the father that
πᾶς ὁ πιστεύων εἰς τὸν υἱὸν σώζηται, καὶ τυγχάνῃ
every the(-one) believing in the son be-saved and attain
τῆς τελευταίας ἀναστάσεως, εἴτουν ἀποκαταστάσεως. ἆρ᾽
of-the last resurrection or-rather restoration is-it
οὖν τοῦ πατρὸς μὲν τοῦτο θέλημα, τοῦ υἱοῦ δὲ οὐδαμῶς;
then of-the father indeed this will of-the son but by-no-means
ἢ ἄκων εὐαγγελίζεται καὶ πιστεύεται; καὶ τίς ἂν τοῦτο
or unwilling is-he-evangelized and believed and who — this
πιστεύσειεν; ἐπεὶ καὶ τὸ τὸν λόγον τὸν ἀκουόμενον μὴ εἶναι
would-believe since also the the word the heard not to-be
τοῦ υἱοῦ, τοῦ πατρὸς δέ, τὴν αὐτὴν ἔχει δύναμιν. πῶς
of-the son of-the father but the same has force how
γὰρ ἴδιόν τινος τὸ κοινόν, ἢ μόνου, τοῦτο συνιδεῖν οὐκ
for proper of-someone the common or of-one-alone this to-perceive not
ἔχω, πολλὰ σκοπῶν· οἶμαι δέ, οὐδὲ ἄλλος τις. ἂν οὕτω
I-can much considering I-think and not-even another anyone if thus
νοῇς περὶ τοῦ θέλειν, ὀρθῶς νοήσεις καὶ λίαν
you-understand about the to-will rightly you-will-understand and very
εὐσεβῶς, ὡς ὁ ἐμὸς λόγος, καὶ παντὸς τοῦ εὐγνώμονος.
piously as the my argument and of-every the reasonable(-man)
Ὄγδοόν ἐστιν αὐτοῖς τό· Ἵνα γινώσκωσι σὲ τὸν μόνον 13
eighth is to-them the that they-may-know you the only
ἀληθινὸν θεόν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν· καὶ
true God and whom you-sent Jesus Christ and
τό· Οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός. τοῦτο δὲ καὶ
the no-one good if not one — God this and even
πάντῃ ῥᾴστην ἔχειν τὴν λύσιν μοι φαίνεται. εἰ γὰρ
altogether easiest to-have the solution to-me seems if for

τὸ μόνον ἀληθινὸν ἐπὶ τοῦ πατρὸς θήσεις, ποῦ θήσεις
the only true upon the father you-will-set where will-you-set
τὴν αὐτοαλήθειαν; καὶ γὰρ εἰ Τῷ μόνῳ σοφῷ θεῷ, ἢ
the self-truth and for if to-the only wise God or
Τῷ μόνῳ ἔχοντι ἀθανασίαν, φῶς οἰκοῦντι ἀπρόσιτον, ἢ
to-the only having immortality light dwelling-in unapproachable or
Βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ, ἀοράτῳ, μόνῳ σοφῷ θεῷ
to-(the)-king of-the ages incorruptible invisible only wise God
νοήσεις οὕτως, οἰχήσεταί σοι θάνατον κατακριθεὶς
you-will-understand thus will-be-gone for-you death condemned
ὁ υἱός, ἢ σκότος, ἢ τὸ μὴ σοφὸς εἶναι, μηδὲ βασιλεύς,
the son or darkness or the not wise to-be nor king
μηδὲ ἀόρατος, μηδὲ ὅλως θεός, ὃ τῶν εἰρημένων
nor invisible nor at-all God which of-the said(-things)
κεφάλαιον. πῶς δὲ οὐκ ἀπολεῖ μετὰ τῶν ἄλλων καὶ τὴν
(is-the)-sum how and not will-be-lose with the others also the
ἀγαθότητα, ἣ μάλιστα μόνου θεοῦ; ἀλλ᾽ οἶμαι τὸ μέν·
goodness which most-of-all of-only God but I-think the indeed
Ἵνα γινώσκωσι σὲ τὸν μόνον ἀληθινὸν θεόν, ἐπ᾽ ἀναιρέσει
that they-may-know you the only true God for (the)-removal
λέγεσθαι τῶν οὐκ ὄντων μὲν θεῶν, λεγομένων δέ. οὐ γὰρ
to-be-said of-the not being indeed gods called but not for
ἂν προσέκειτο· Καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν, εἰ
— would-have-been-added and whom you-sent Jesus Christ if
πρὸς ἐκεῖνον ἀντιδιῄρητο τὸ μόνον ἀληθινόν, ἀλλὰ μὴ κατὰ
against him was-set-in-contrast the only true but not in
κοινοῦ τῆς θεότητος ἦν ὁ λόγος. τὸ δέ, Οὐδεὶς ἀγαθός,
common of-the godhead was the saying the and no-one good
ἀπάντησιν ἔχει πρὸς τὸν πειράζοντα νομικόν, ὡς ἀνθρώπῳ
(an)-answer has to the tempting lawyer as to-(a)-man
τὴν ἀγαθότητα μαρτυρήσαντα. τὸ γὰρ ἄκρως ἀγαθόν,
the goodness having-attested the for supremely good

φησι, μόνου θεοῦ, κἂν τοῦτο καὶ ἄνθρωπος ὀνομάζηται,
he-says (is)-of-only God even-if this also (a)-man be-called
ὡς τό· Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ
as the the good man out-of the good treasure
προβάλλει τὸ ἀγαθόν· καί, Δώσω τὴν βασιλείαν τῷ
brings-forth the good and I-will-give the kingdom to-the
ἀγαθῷ ὑπὲρ σέ, τοῦ θεοῦ πρὸς τὸν Σαοὺλ περὶ τοῦ Δαβὶδ
good beyond you — of-God to — Saul about — David
λέγοντος· καὶ τό· Ἀγάθυνον, κύριε, τοῖς ἀγαθοῖς· καὶ ὅσα
saying and the do-good lord to-the good and whatever
ἄλλα τοιαῦτα λέγεται περὶ τῶν ἐν ἡμῖν ἐπαινουμένων,
other such(-things) is-said about the among us praised
ἐφ᾽ οὓς ἡ ἀπόρροια τοῦ πρώτου καλοῦ καὶ κατὰ δεύτερον
to whom the emanation of-the first good also in second
λόγον ἔφθασεν. εἰ μὲν οὖν πείθομεν τοῦτο, ἄριστον· εἰ δὲ
degree has-reached if indeed then we-persuade this (is)-best if and
μή, τί φήσεις πρὸς τοὺς λέγοντας ἑτέρωθι, τὸν υἱὸν
not what will-you-say to the(-ones) saying elsewhere the son
μόνον εἰρῆσθαι θεὸν κατὰ τὰς σὰς ὑποθέσεις; ἐν τίσι
alone to-have-been-called God according-to the your hypotheses in what
τοῖς ῥήμασιν; ἐν ἐκείνοις· Οὗτός σου θεός, οὐ λογισθήσεται
the words in those this your God not will-be-reckoned
ἕτερος πρὸς αὐτόν· καὶ μετ᾽ ὀλίγα· Μετὰ τοῦτο ἐπὶ
other beside him and after few(-words) after this upon
τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.
the earth he-was-seen and with-the men he-conversed
ὅτι μὲν γὰρ οὐ περὶ τοῦ πατρὸς ἀλλὰ τοῦ υἱοῦ
that indeed for not about the father but (about)-the son
τὸ λεγόμενον, ἡ προσθήκη σαφῶς παρίστησιν. οὗτος
the said(-thing) the addition clearly shows this
γάρ ἐστιν ὁ σωματικῶς ὁμιλήσας ἡμῖν, καὶ μετὰ
for is the(-one) bodily having-conversed with-us and with

τῶν κάτω γενόμενος. εἰ δὲ νικήσειε κατὰ τοῦ πατρὸς
the below having-been if and it-should-prevail of the father
λέγεσθαι τοῦτο, μὴ τῶν νομιζομένων θεῶν, ἡττήμεθα τὸν
to-be-said this not of-the reputed gods we-are-defeated the
πατέρα, δι' ὧν τοῦ υἱοῦ κατεσπουδάσαμεν. τί ἂν
father through which(-things) the son we-were-eager-against what —
τῆς νίκης ταύτης γένοιτο ἀθλιώτερον ἢ ζημιωδέστερον;
than-the victory this could-be more-wretched or more-damaging
14 Ἔννατον ἐκεῖνο φήσουσι τό· Πάντοτε ζῶν εἰς τὸ
ninth that they-will-say the always living for the
ἐντυγχάνειν ὑπὲρ ἡμῶν. εὖ γε καὶ λίαν μυστικῶς τε καὶ
to-intercede for us well at-least and very mystically both and
φιλανθρώπως. τὸ γὰρ ἐντυγχάνειν οὐχ, ὡς ἡ τῶν πολλῶν
humanely the for to-intercede not as the of-the many
συνήθεια, τὸ ζητεῖν ἐκδίκησιν ἔχει· τοῦτο γάρ πως καὶ
custom the to-seek vengeance holds this for somehow even
ταπεινότητος· ἀλλὰ τὸ πρεσβεύειν ὑπὲρ ἡμῶν τῷ λόγῳ
of-lowliness but the to-plead for us by-the reason
τῆς μεσιτείας· ὡς καὶ τὸ πνεῦμα ὑπὲρ ἡμῶν ἐντυγχάνειν
of-the mediation as also the spirit for us to-intercede
λέγεται. Εἷς γὰρ θεός, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων,
is-said one for God one also mediator of-God and of-men
ἄνθρωπος Ἰησοῦς Χριστός. πρεσβεύει γὰρ ἔτι καὶ νῦν, ὡς
(a)-man Jesus Christ pleads for still even now as
ἄνθρωπος, ὑπὲρ τῆς ἐμῆς σωτηρίας, ὅτι μετὰ τοῦ σώματός
man for the my salvation because with the body
ἐστιν, οὗ προσέλαβεν, ἕως ἂν ἐμὲ ποιήσῃ θεὸν τῇ δυνάμει
he-is which he-assumed until — me he-makes God by-the power
τῆς ἐνανθρωπήσεως, κἂν μηκέτι κατὰ σάρκα γινώσκηται,
of-the incarnation even-if no-longer according-to flesh he-is-known
τὰ σαρκικὰ λέγω πάθη καί, χωρὶς τῆς ἁμαρτίας, ἡμέτερα.
the fleshly I-mean passions and without the sin ours

οὕτω δὲ καὶ παράκλητον ἔχομεν Ἰησοῦν οὐχ ὡς ὑπὲρ
thus and also (an)-advocate we-have Jesus not as for
ἡμῶν προκαλινδούμενον τοῦ πατρός, καὶ προσπίπτοντα
us prostrating-himself-before the father and falling-down
δουλικῶς. ἄπαγε τὴν δούλην ὄντως ὑπόνοιαν, καὶ ἀναξίαν
servilely away-with the servile truly suspicion and unworthy
τοῦ πνεύματος. οὔτε γὰρ τοῦ πατρὸς τοῦτο ἐπιζητεῖν,
of-the spirit neither for of-the father this to-require
οὔτε τοῦ υἱοῦ πάσχειν, ἢ ὡς περὶ θεοῦ διανοεῖσθαι δίκαιον·
nor of-the son to-suffer or as about God to-think (is)-just
ἀλλ᾽ οἷς πέπονθεν, ὡς ἄνθρωπος, πείθει καρτερεῖν, ὡς
but by-what he-has-suffered as man he-persuades to-endure as
λόγος καὶ παραινέτης. τοῦτο νοεῖταί μοι ἡ παράκλησις.
word and exhorter this is-understood by-me the advocacy
Δέκατον αὐτοῖς ἐστιν ἡ ἄγνοια, καὶ τὸ μηδένα γινώσκειν 15
tenth to-them is the ignorance and the no-one to-know
τὴν τελευταίαν ἡμέραν ἢ ὥραν, μηδὲ τὸν υἱὸν αὐτόν,
the last day or hour not-even the son himself
εἰ μὴ τὸν πατέρα. καίτοι πῶς ἀγνοεῖ τι τῶν
if not the father and-yet how is-ignorant-of anything of-the
ὄντων ἡ σοφία, ὁ ποιητὴς τῶν αἰώνων, ὁ συντελεστὴς
beings the wisdom the maker of-the ages the consummator
καὶ μεταποιητής, τὸ πέρας τῶν γενομένων; ὁ
and transformer the end of-the(-things) made the(-one)
οὕτω τὰ τοῦ θεοῦ γινώσκων, ὡς τὸ πνεῦμα τοῦ
thus the(-things) — of-God knowing as the spirit of-the
ἀνθρώπου τὰ ἐν αὐτῷ; τί γὰρ ταύτης τῆς γνώσεως
man the(-things) in him what for than-this the knowledge
τελεώτερον; πῶς δὲ τὰ μὲν πρὸ τῆς ὥρας ἀκριβῶς
more-perfect how and the(-things) indeed before the hour precisely
ἐπίσταται, καὶ τὰ οἷον ἐν χρῷ τοῦ τέλους, αὐτὴν
knows and the(-things) as-it-were at (the)-edge of-the end itself

δὲ ἀγνοεῖ τὴν ὥραν; αἰνίγματι γὰρ τὸ πρᾶγμα ὅμοιον,
but is-ignorant-of the hour to-(a)-riddle for the matter like
ὥσπερ ἂν εἴ τις τὰ μὲν πρὸ τοῦ τείχους ἀκριβῶς
as — if someone the(-things) indeed before the wall precisely
ἐπίστασθαι λέγοι, αὐτὸ δὲ ἀγνοεῖν τὸ τεῖχος· ἢ τὸ τῆς
to-know should-say itself but to-be-ignorant-of the wall or the of-the
ἡμέρας τέλος εὖ ἐπιστάμενος, τὴν ἀρχὴν τῆς νυκτὸς μὴ
day end well knowing the beginning of-the night not
γινώσκειν· ἔνθα ἡ τοῦ ἑτέρου γνῶσις ἀναγκαίως συνεισάγει
to-know where the of-the one knowledge necessarily brings-in-with
τὸ ἕτερον. ἢ πᾶσιν εὔδηλον, ὅτι γινώσκει μέν, ὡς θεός,
the other or to-all (is)-quite-clear that he-knows indeed as God
ἀγνοεῖν δέ φησιν, ὡς ἄνθρωπος, ἄν τις τὸ φαινόμενον
to-be-ignorant but he-says as man if someone the apparent
χωρίσῃ τοῦ νοουμένου; τὸ γὰρ ἀπόλυτον εἶναι τὴν
should-separate from-the understood the for absolute to-be the
τοῦ υἱοῦ προσηγορίαν καὶ ἄσχετον, οὐ προσκειμένου
of-the son title and unrelated not being-added
τῷ υἱῷ τοῦ τίνος, ταύτην ἡμῖν δίδωσι τὴν ὑπόνοιαν,
to-the son of-the of-whom this to-us gives the suspicion
ὥστε τὴν ἄγνοιαν ὑπολαμβάνειν ἐπὶ τὸ εὐσεβέστερον, τῷ
so-that the ignorance to-take to the more-pious to-the
ἀνθρωπίνῳ, μὴ τῷ θείῳ, ταύτην λογιζομένους.
human not to-the divine it reckoning

16 Εἰ μὲν οὖν οὗτος αὐτάρκης ὁ λόγος, ἐνταῦθα στησόμεθα,
if indeed then this sufficient the account here we-will-stand
καὶ μηδὲν πλέον ἐπιζητείσθω· εἰ δὲ μή, τό γε δεύτερον,
and nothing more let-be-sought if but not the at-least second
ὥσπερ τῶν ἄλλων ἕκαστον, οὕτω δὲ καὶ ἡ γνῶσις τῶν
as of-the others each thus and also the knowledge of-the
μεγίστων ἐπὶ τὴν αἰτίαν ἀναφερέσθω τιμῇ τοῦ γεννήτορος.
greatest(-things) to the cause let-be-referred by-honor of-the begetter

δοκεῖ δέ μοί τις, μηδ' ἂν ἐκείνως ἀναγνούς, ὡς τῶν
seems and to-me someone not-even — that-way having-read as of-the
καθ' ἡμᾶς φιλολόγων τις, μικρὸν ἐννοῆσαι, ὅτι οὐδὲ ὁ υἱὸς
in us philologists one a-little to-perceive that not-even the son
ἄλλως οἶδε τὴν ἡμέραν ἢ τὴν ὥραν, ἢ ὡς ὅτι ὁ πατὴρ. τὸ
otherwise knows the day or the hour than as that the father the
γὰρ συναγόμενον ὁποῖον; ἐπειδὴ ὁ πατὴρ γινώσκει, διὰ
for conclusion what-sort since the father knows because-of
τοῦτο καὶ ὁ υἱός, ὡς δῆλον, ὅτι μηδενὶ γνωστὸν τοῦτο
this also the son as clear that to-no-one known this
μηδὲ ληπτόν, πλὴν τῆς πρώτης φύσεως. ἐλείπετο περὶ
nor comprehensible except the first nature it-remained about
τοῦ ἐντετάλθαι, καὶ τετηρηκέναι τὰς ἐντολάς, καὶ τὰ
the to-have-been-commanded and to-have-kept the commandments and the
ἀρεστὰ αὐτῷ πάντοτε πεποιηκέναι, διαλαβεῖν ἡμᾶς· ἔτι δὲ
pleasing(-things) to-him always to-have-done to-discuss us yet and
τελειώσεως, καὶ ὑψώσεως, καὶ τοῦ μαθεῖν ἐξ ὧν ἔπαθε τὴν
of-perfecting and of-exaltation and of-the to-learn from what he-suffered the
ὑπακοήν, ἀρχιερωσύνης τε καὶ προσφορᾶς, καὶ παραδόσεως,
obedience of-high-priesthood both and of-offering and of-betrayal
καὶ δεήσεως τῆς πρὸς τὸν δυνάμενον σώζειν αὐτὸν ἐκ
and of-prayer of-the to the(-one) able to-save him from
θανάτου, καὶ ἀγωνίας, καὶ θρόμβων, καὶ προσευχῆς, καὶ εἴ
death and of-agony and of-clots and of-praying and if
τι ἄλλο τοιοῦτον· εἰ μὴ πᾶσι πρόδηλον ἦν, ὅτι περὶ
anything other such if not to-all quite-clear it-were that about
τὸ πάσχον τὰ τοιαῦτα τῶν ὀνομάτων, οὐ τὴν ἄτρεπτον
the suffering(-nature) the such of-the names not the unchangeable
φύσιν καὶ τοῦ πάσχειν ὑψηλοτέραν. ὁ μὲν οὖν περὶ τῶν
nature and than-the to-suffer higher the indeed then about the
ἀντιθέτων λόγος τοσοῦτον, ὅσον ῥίζα τις εἶναι καὶ ὑπόμνημα
objections account so-much as root some to-be and (a)-reminder

τοῖς ἐξεταστικωτέροις τῆς τελεωτέρας ἐξεργασίας. ἄξιον
for-the more-inquiring of-the more-perfect working-out (is)-worthy
δὲ ἴσως, καὶ τοῖς προειρημένοις ἀκόλουθον, μηδὲ τὰς
and perhaps also to-the aforesaid(-things) consequent not-even the
προσηγορίας τοῦ υἱοῦ παρελθεῖν ἀθεωρήτους, πολλάς τε
titles of-the son to-pass-by unexamined many both
οὔσας, καὶ κατὰ πολλῶν κειμένας τῶν περὶ αὐτὸν
being and over many(-things) lying of-the(-things) about him
νοουμένων, ἀλλ' ἑκάστην αὐτῶν ὅ τί ποτε βούλεται
understood but each of-them what — ever it-wishes
παραστῆσαι, καὶ δεῖξαι τὸ τῶν ὀνομάτων μυστήριον.
to-present and to-show the of-the names mystery

XV · THE SON'S NAMES

The divine nature has no name; He who is and God come nearest, while the other names tell his power and dispensation. Son, only-begotten, Word, wisdom, power, truth, image, light, life, righteousness, sanctification, redemption, and resurrection are common to him who is above us and for us; man, Son of Man, Christ, way, door, shepherd, sheep, lamb, high priest, and Melchizedek are ours, from what he assumed. Walk through the lofty names divinely and the bodily ones with sympathy, and become a god.

17 Ἀρκτέον δὲ ἡμῖν ἐντεῦθεν. τὸ θεῖον ἀκατονόμαστον· καὶ
(one)-must-begin and for-us from-here the divine (is)-unnameable and
τοῦτο δηλοῦσιν, οὐχ οἱ λογισμοὶ μόνον, ἀλλὰ καὶ Ἑβραίων
this show not the reasonings only but also of-Hebrews
οἱ σοφώτατοι καὶ παλαιότατοι, ὅσον εἰκάζειν ἔδοσαν.
the wisest and most-ancient as-far-as to-conjecture they-allowed
οἱ γὰρ χαρακτῆρσιν ἰδίοις τὸ θεῖον τιμήσαντες, καὶ οὐδὲ
they for with-characters own the divine having-honored and not-even

γράμμασιν ἀνασχόμενοι τοῖς αὐτοῖς ἄλλο τι γράφεσθαι
with-letters enduring the same other anything to-be-written
τῶν μετὰ θεὸν καὶ θεόν, ὡς δέον ἀκοινώνητον
of-the(-things) after God and God as necessary incommunicable
εἶναι καὶ μέχρι τούτου τὸ θεῖον τοῖς ἡμετέροις, πότε
to-be even to this the divine with-the our(-things) when
ἂν δέξαιντο λυομένῃ φωνῇ δηλοῦσθαι τὴν ἄλυτον
— would-they-accept by-(a)-being-dissolved sound to-be-shown the indissoluble
φύσιν καὶ ἰδιάζουσαν; οὔτε γὰρ ἀέρα τις ἔπνευσεν
nature and peculiar neither for air anyone breathed
ὅλον πώποτε, οὔτε οὐσίαν θεοῦ παντελῶς ἢ νοῦς
whole ever nor (the)-substance of-God altogether either mind
κεχώρηκεν, ἢ φωνὴ περιέλαβεν. ἀλλ' ἐκ τῶν περὶ
has-contained or voice has-embraced but from the(-things) about
αὐτὸν σκιαγραφοῦντες τὰ κατ' αὐτόν, ἀμυδράν τινα
him sketching the(-things) concerning him dim some
καὶ ἀσθενῆ καὶ ἄλλην ἀπ' ἄλλου φαντασίαν συλλέγομεν.
and weak and other from other image we-collect
καὶ οὗτος ἄριστος ἡμῖν θεολόγος, οὐχ ὃς εὗρε τὸ πᾶν,
and this(-one) best to-us theologian not who found the all
οὐδὲ γὰρ δέχεται τὸ πᾶν ὁ δεσμός, ἀλλ' ὃς ἐὰν ἄλλου
not-even for admits the all the bond but who — than-another
φαντασθῇ πλέον, καὶ πλεῖον ἐν ἑαυτῷ συναγάγῃ τὸ τῆς
imagines more and more in himself gathers the of-the
ἀληθείας ἴνδαλμα, ἢ ἀποσκίασμα, ἢ ὅ τι καὶ ὀνομάσομεν.
truth semblance or shadow or what — also we-shall-name(-it)
Ὅσον δ' οὖν ἐκ τῶν ἡμῖν ἐφικτῶν, ὁ μὲν ὤν, καὶ 18
as-far-as but then from the(-things) to-us attainable the indeed being and
ὁ θεός, μᾶλλόν πως τῆς οὐσίας ὀνόματα· καὶ τούτων
— God more somehow of-the substance names and of-these
μᾶλλον ὁ ὤν· οὐ μόνον ὅτι τῷ Μωυσεῖ χρηματίζων ἐπὶ
more the being not only because — to-Moses answering on

τοῦ ὄρους, καὶ τὴν κλῆσιν ἀπαιτούμενος, ἥ τίς ποτε
the mountain and the name being-asked what — ever
εἴη, τοῦτο προσεῖπεν ἑαυτόν, Ὁ ὢν ἀπέσταλκέ με, τῷ
it-might-be this called himself the being has-sent me to-the
λαῷ κελεύσας εἰπεῖν· ἀλλ' ὅτι καὶ κυριωτέραν ταύτην
people having-bidden to-say but because also more-proper this
εὑρίσκομεν. ἡ μὲν γὰρ τοῦ θεοῦ, κἂν ἀπὸ τοῦ θέειν,
we-find the(-name) indeed for — of-God even-if from the to-run
ἢ αἴθειν, ἠτυμολόγηται τοῖς περὶ ταῦτα κομψοῖς,
or to-blaze it-has-been-etymologized by-those about these(-things) clever
διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν
because-of the ever-moving and consuming of-the evil
ἕξεων, — καὶ γὰρ πῦρ καταναλίσκον ἐντεῦθεν λέγεται,
habits and for fire consuming thence it-is-called
— ἀλλ' οὖν τῶν πρός τι λεγομένων ἐστί, καὶ
but then of-the(-names) relative-to something said it-is and
οὐκ ἄφετος· ὥσπερ καὶ ἡ Κύριος φωνή, ὄνομα εἶναι θεοῦ
not absolute as also the Lord word name to-be of-God
καὶ αὐτὴ λεγομένη· Ἐγὼ γάρ, φησι, κύριος ὁ θεός σου·
and itself called I for he-says (the)-lord — God your
τοῦτό μού ἐστιν ὄνομα. καί, Κύριος ὄνομα αὐτῷ. ἡμεῖς
this of-me is (the)-name and Lord (is)-name to-him we
δὲ φύσιν ἐπιζητοῦμεν, ᾗ τὸ εἶναι καθ' ἑαυτό, καὶ
but (a)-nature seek to-which the to-be (is)-by itself and
οὐκ ἄλλῳ συνδεδεμένον· τὸ δὲ ὂν ἴδιον ὄντως θεοῦ, καὶ
not to-another bound the and being proper truly of-God and
ὅλον, μήτε τῷ πρὸ αὐτοῦ, μήτε τῷ μετ' αὐτόν,
whole neither by-the(-time) before him nor by-the(-time) after him
οὐ γὰρ ἦν, ἢ ἔσται, περατούμενον ἢ περικοπτόμενον.
not for it-was or it-will-be bounded or cut-off

Τῶν δ' ἄλλων προσηγοριῶν αἱ μὲν τῆς ἐξουσίας εἰσὶ 19
of-the and other titles the(-ones) indeed of-the authority are
προφανῶς, αἱ δὲ τῆς οἰκονομίας, καὶ ταύτης διττῆς·
manifestly the(-others) and of-the dispensation and of-this twofold
τῆς μὲν ὑπὲρ τὸ σῶμα, τῆς δὲ ἐν σώματι· οἷον
of-the(-one) indeed above the body of-the(-other) and in body as
ὁ μὲν παντοκράτωρ, καὶ ὁ βασιλεύς, ἢ τῆς δόξης,
the indeed almighty and the king either of-the glory
ἢ τῶν αἰώνων, ἢ τῶν δυνάμεων τοῦ ἀγαπητοῦ, ἢ τῶν
or of-the ages or of-the powers of-the beloved or of-the
βασιλευόντων· καὶ ὁ κύριος, ἢ σαβαώθ, ὅπερ ἐστὶ στρατιῶν,
reigning and the lord or sabaoth which is of-hosts
ἢ τῶν δυνάμεων, ἢ τῶν κυριευόντων. ταῦτα μὲν σαφῶς
or of-the powers or of-the ruling these(-things) indeed clearly
τῆς ἐξουσίας· ὁ δὲ θεός, ἢ τοῦ σώζειν, ἢ ἐκδικήσεων, ἢ
of-the authority — and God either of-the to-save or of-vengeances or
εἰρήνης, ἢ δικαιοσύνης, ἢ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ,
of-peace or of-righteousness or of-Abraham and of-Isaac and of-Jacob
καὶ παντὸς Ἰσραὴλ τοῦ πνευματικοῦ καὶ ὁρῶντος θεόν·
and of-all Israel the spiritual and seeing God
ταῦτα δὲ τῆς οἰκονομίας. ἐπειδὴ γὰρ τρισὶ τούτοις
these(-things) and of-the dispensation since for by-three these
διοικούμεθα, δέει τε τιμωρίας, καὶ σωτηρίας ἐλπίδι, πρὸς
we-are-governed by-fear both of-punishment and of-salvation by-hope besides
δὲ καὶ δόξης, καὶ ἀσκήσει τῶν ἀρετῶν, ἐξ ὧν ταῦτα·
and also of-glory and by-practice of-the virtues from which these(-things)
τὸ μὲν τῶν ἐκδικήσεων ὄνομα οἰκονομεῖ τὸν φόβον· τὸ
the indeed of-the vengeances name dispenses the fear the(-other)
δὲ τῶν σωτηρίων τὴν ἐλπίδα· τὸ δὲ τῶν ἀρετῶν τὴν
and of-the salvations the hope the(-other) and of-the virtues the
ἄσκησιν· ἵν' ὡς τὸν θεὸν ἐν ἑαυτῷ φέρων ὁ τούτων
practice that as — God in himself bearing the(-one) of-these

τι κατορθῶν μᾶλλον ἐπείγηται πρὸς τὸ τέλειον, καὶ τὴν
anything achieving more may-press toward the perfect and the
ἐξ ἀρετῶν οἰκείωσιν. ταῦτα μὲν οὖν ἔτι κοινὰ θεότητος
from virtues appropriation these indeed then still common of-godhead
τὰ ὀνόματα. ἴδιον δὲ τοῦ μὲν ἀνάρχου, πατήρ· τοῦ δὲ
the names proper but of-the indeed beginningless father of-the and
ἀνάρχως γεννηθέντος, υἱός· τοῦ δὲ ἀγεννήτως προελθόντος,
beginninglessly begotten son of-the and unbegottenly having-proceeded
ἢ προιόντος, τὸ πνεῦμα τὸ ἅγιον. ἀλλ' ἐπὶ τὰς τοῦ υἱοῦ
or proceeding the spirit the holy but to the of-the son
κλήσεις ἔλθωμεν, ὅπερ ὡρμήθη λέγειν ὁ λόγος.
titles let-us-come which set-out to-say the argument
20 Δοκεῖ γάρ μοι λέγεσθαι υἱὸς μέν, ὅτι ταὐτόν ἐστι τῷ
seems for to-me to-be-called son indeed because the-same he-is with-the
πατρὶ κατ' οὐσίαν· καὶ οὐκ ἐκεῖνο μόνον, ἀλλὰ κἀκεῖθεν.
father in substance and not that only but and-from-there
μονογενὴς δέ, οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ'
only-begotten and not because alone from alone and alone but
ὅτι καὶ μονοτρόπως, οὐχ ὡς τὰ σώματα. λόγος δέ,
because also in-a-unique-way not as the bodies word and
ὅτι οὕτως ἔχει πρὸς τὸν πατέρα, ὡς πρὸς νοῦν λόγος·
because thus he-is toward the father as toward mind word
οὐ μόνον διὰ τὸ ἀπαθὲς τῆς γεννήσεως, ἀλλὰ καὶ τὸ
not only because-of the impassible of-the generation but also the
συναφές, καὶ τὸ ἐξαγγελτικόν. τάχα δ' ἂν εἴποι τις,
conjoined and the declarative perhaps and — might-say someone
ὅτι καὶ ὡς ὅρος πρὸς τὸ ὁριζόμενον, ἐπειδὴ καὶ τοῦτο
that also as definition toward the defined since also this
λέγεται λόγος. ὁ γὰρ νενοηκώς, φησι, τὸν υἱόν,
is-called word the(-one) for having-understood he-says the son
τοῦτο γάρ ἐστι τὸ ἑωρακώς, νενόηκε τὸν πατέρα· καὶ
this for is the having-seen has-understood the father and

σύντομος ἀπόδειξις καὶ ῥᾳδία τῆς τοῦ πατρὸς φύσεως
(a)-concise demonstration and easy of-the of-the father nature
ὁ υἱός. γέννημα γὰρ ἅπαν τοῦ γεγεννηκότος σιωπῶν
the son offspring for every of-the begetter silent
λόγος. εἰ δὲ καὶ διὰ τὸ ἐνυπάρχειν τοῖς οὖσι λέγοι
word if and also because-of the to-be-in in-the beings should-say
τις, οὐχ ἁμαρτήσεται τοῦ λόγου. τί γάρ ἐστιν, ὃ
anyone not he-will-miss of-the reason what for is which
μὴ λόγῳ συνέστηκεν; σοφία δέ, ὡς ἐπιστήμη θείων τε
not by-word has-been-constituted wisdom and as knowledge divine both
καὶ ἀνθρωπίνων πραγμάτων. πῶς γὰρ οἷόν τε τὸν
and human of-things how for possible — the(-one)
πεποιηκότα τοὺς λόγους ἀγνοεῖν ὧν πεποίηκεν;
having-made the principles to-be-ignorant-of of-what he-has-made
δύναμις δέ, ὡς συντηρητικὸς τῶν γενομένων, καὶ τὴν
power and as preserver of-the(-things) having-come-to-be and the
τοῦ συνέχεσθαι ταῦτα χορηγῶν δύναμιν. ἀλήθεια δέ, ὡς
of-the to-be-held-together these(-things) supplying power truth and as
ἕν, οὐ πολλὰ τῇ φύσει· τὸ μὲν γὰρ ἀληθὲς ἕν, τὸ δὲ
one not many by-the nature the indeed for true (is)-one the and
ψεῦδος πολυσχιδές· καὶ ὡς καθαρὰ τοῦ πατρὸς σφραγίς,
falsehood manifold and as pure of-the father seal
καὶ χαρακτὴρ ἀψευδέστατος. εἰκὼν δέ, ὡς ὁμοούσιον, καὶ
and impress most-unfalse image and as consubstantial and
ὅτι τοῦτο ἐκεῖθεν, ἀλλ' οὐκ ἐκ τούτου πατήρ. αὕτη
because this (is)-from-there but not from this (the)-father this
γὰρ εἰκόνος φύσις, μίμημα εἶναι τοῦ ἀρχετύπου, καὶ οὗ
for of-image nature imitation to-be of-the archetype and of-which
λέγεται· πλὴν ὅτι καὶ πλεῖον ἐνταῦθα. ἐκεῖ μὲν γὰρ
it-is-called except that also more here there indeed for
ἀκίνητος κινουμένου· ἐνταῦθα δὲ ζῶντος καὶ ζῶσα, καὶ
unmoving of-moving here and of-living also living and

πλεῖον ἔχουσα τὸ ἀπαράλλακτον, ἢ τοῦ Ἀδὰμ ὁ Σήθ,
more having the exactness than — of-Adam — Seth
καὶ τοῦ γεννῶντος παντὸς τὸ γεννώμενον. τοιαύτη γὰρ ἡ
and of-the begetting every the begotten such for the
τῶν ἁπλῶν φύσις, μὴ τῷ μὲν ἐοικέναι, τῷ
of-the simple(-things) nature not in-the(-one) indeed to-resemble in-the(-other)
δὲ ἀπεοικέναι, ἀλλ' ὅλον ὅλου τύπον εἶναι, καὶ ταὐτὸν
and to-be-unlike but whole of-whole (the)-impress to-be and the-same
μᾶλλον, ἢ ἀφομοίωμα. φῶς δέ, ὡς λαμπρότης ψυχῶν καὶ
rather than likeness light and as brightness of-souls both
λόγῳ καὶ βίῳ καθαιρομένων. εἰ γὰρ σκότος ἡ ἄγνοια καὶ
by-word and by-life purified if for darkness the ignorance and
ἡ ἁμαρτία, φῶς ἂν εἴη ἡ γνῶσις, καὶ βίος ὁ ἔνθεος.
the sin light — would-be the knowledge and life the divine
ζωὴ δέ, ὅτι φῶς, καὶ πάσης λογικῆς φύσεως σύστασις καὶ
life and because light and of-every rational nature constitution and
οὐσίωσις. ἐν αὐτῷ γὰρ ζῶμεν, καὶ κινούμεθα, καὶ ἐσμέν,
substantiation in him for we-live and we-move and we-are
κατὰ τὴν διπλῆν τοῦ ἐμφυσήματος δύναμιν, καὶ πνοὴν
according-to the double of-the inbreathing power and breath
ἐκεῖθεν ἐμφυσώμενοι πάντες, καὶ πνεῦμα ἅγιον ὅσοι
from-there being-inbreathed all and spirit holy as-many-as
χωρητικοί, καὶ τοσοῦτον, καθ' ὅσον ἂν τὸ στόμα τῆς
(are)-capable and so-much in as-much-as — the mouth of-the
διανοίας ἀνοίξωμεν. δικαιοσύνη δέ, ὅτι τοῦ πρὸς ἀξίαν
mind we-open righteousness and because of-the according-to worth
διαιρέτης, καὶ διαιτῶν δικαίως τοῖς ὑπὸ νόμον καὶ τοῖς
divider and arbitrating justly for-those under law and for-those
ὑπὸ χάριν, ψυχῇ καὶ σώματι, ὥστε τὸ μὲν ἄρχειν,
under grace for-soul and for-body so-that the(-one) indeed to-rule
τὸ δὲ ἄρχεσθαι, καὶ τὴν ἡγεμονίαν ἔχειν τὸ κρεῖττον
the(-other) and to-be-ruled and the leadership to-have the better

κατὰ τοῦ χείρονος, ὡς μὴ τὸ χεῖρον ἐπανίστασθαι τῷ
over the worse that not the worse to-rise-up against-the
βελτίονι. ἁγιασμὸς δέ, ὡς καθαρότης, ἵνα χωρῆται
better sanctification and as purity that may-be-contained
τὸ καθαρὸν καθαρότητι. ἀπολύτρωσις δέ, ὡς ἐλευθερῶν
the pure by-purity redemption and as freeing
ἡμᾶς ὑπὸ τῆς ἁμαρτίας κατεχομένους, καὶ λύτρον ἑαυτὸν
us by the sin held-fast and (as)-ransom himself
ἀντιδιδοὺς ἡμῶν τῆς οἰκουμένης καθάρσιον. ἀνάστασις
giving-in-exchange of-us of-the inhabited(-world) cleansing resurrection
δέ, ὡς ἐντεῦθεν ἡμᾶς ἀπανιστάς, καὶ πρὸς τὴν ζωὴν
and as from-here us raising-up and to the life
ἐπανάγων νενεκρωμένους ὑπὸ τῆς ἁμαρτίας.
leading-back made-dead by the sin
Ταῦτα μὲν οὖν ἔτι κοινὰ τοῦ τε ὑπὲρ ἡμᾶς καὶ 21
these(-things) indeed then still common of-the(-one) both above us and
τοῦ δι᾽ ἡμᾶς. ἃ δὲ ἰδίως ἡμέτερα καὶ τῆς ἐντεῦθεν
of-the(-one) for us what(-things) but properly ours and of-the from-here
προσλήψεως· ἄνθρωπος μέν, οὐχ ἵνα χωρηθῇ μόνον
assumption man indeed not that he-may-be-contained only
διὰ σώματος σώμασιν, ἄλλως οὐκ ἂν χωρηθεὶς διὰ τὸ
through body by-bodies otherwise not — being-contained because-of the
τῆς φύσεως ἄληπτον· ἀλλ᾽ ἵνα καὶ ἁγιάσῃ δι᾽ ἑαυτοῦ
of-the nature incomprehensible but that also he-may-sanctify through himself
τὸν ἄνθρωπον, ὥσπερ ζύμη γενόμενος τῷ παντὶ φυράματι,
the man as leaven having-become to-the whole lump
καὶ πρὸς ἑαυτὸν ἑνώσας τὸ κατακριθὲν ὅλον λύσῃ
and to himself having-united the condemned whole he-may-loose
τοῦ κατακρίματος, πάντα ὑπὲρ πάντων γενόμενος,
from-the condemnation all(-things) for all having-become
ὅσα ἡμεῖς, πλὴν τῆς ἁμαρτίας, σῶμα, ψυχή, νοῦς,
as-many-as we except the sin body soul mind

δι᾽ ὅσων ὁ θάνατος· τὸ κοινὸν ἐκ τούτων, ἄνθρωπος,
through as-many-as the death the common from these man
θεὸς ὁρώμενος, διὰ τὸ νοούμενον. υἱὸς δὲ ἀνθρώπου,
God seen because-of the understood son and of-man
καὶ διὰ τὸν Ἀδάμ, καὶ διὰ τὴν παρθένον, ἐξ ὧν
both because-of — Adam and because-of the virgin from whom
ἐγένετο· τοῦ μέν, ὡς προπάτορος, τῆς δέ, ὡς
he-was-born of-the(-one) indeed as forefather of-the(-other) and as
μητρός, νόμῳ καὶ οὐ νόμῳ γεννήσεως. Χριστὸς δέ, διὰ
mother by-law and not by-law of-generation Christ and because-of
τὴν θεότητα· χρίσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ
the godhead (the)-anointing for this of-the humanity not
ἐνεργείᾳ κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ
by-activity like the other anointed(-ones) sanctifying by-presence
δὲ ὅλου τοῦ χρίοντος· ἧς ἔργον ἄνθρωπον ἀκοῦσαι τὸ
but of-whole the anointer of-which (the)-work (that)-man to-be-called the
χρίον, καὶ ποιῆσαι θεὸν τὸ χριόμενον. ὁδὸς δέ, ὡς δι᾽
anointing and to-make God the anointed way and as through
ἑαυτοῦ φέρων ἡμᾶς. θύρα δέ, ὡς εἰσαγωγεύς. ποιμὴν δέ,
himself bearing us door and as bringer-in shepherd and
ὡς εἰς τόπον χλόης κατασκηνῶν, καὶ ἐκτρέφων ἐπὶ ὕδατος
as into (a)-place of-pasture making-dwell and nourishing by water
ἀναπαύσεως, καὶ ἐντεῦθεν ὁδηγῶν, καὶ προπολεμῶν κατὰ
of-rest and thence guiding and fighting-before against
τῶν θηρίων· τὸ πλανώμενον ἐπιστρέφων, τὸ ἀπολωλὸς
the beasts the wandering turning-back the lost
ἐπανάγων, τὸ συντετριμμένον καταδεσμῶν, τὸ ἰσχυρὸν
bringing-back the broken binding-up the strong
φυλάσσων, καὶ πρὸς τὴν ἐκεῖθεν μάνδραν συνάγων λόγοις
guarding and to the there fold gathering by-words
ποιμαντικῆς ἐπιστήμης. πρόβατον δέ, ὡς σφάγιον· ἀμνὸς
of-pastoral knowledge sheep and as victim lamb

δέ, ὡς τέλειον. ἀρχιερεὺς δέ, ὡς προσαγωγεύς. Μελχισεδὲκ
and as perfect high-priest and as bringer-near Melchizedek
δέ, ὡς ἀμήτωρ τὸ ὑπὲρ ἡμᾶς, καὶ ἀπάτωρ τὸ καθ'
and as motherless the above us and fatherless the in
ἡμᾶς· καὶ ὡς ἀγενεαλόγητος τὸ ἄνω· Τὴν γὰρ γενεὰν
us and as without-genealogy the above the for generation
αὐτοῦ, φησί, τίς διηγήσεται; καὶ ὡς βασιλεὺς Σαλήμ,
of-him he-says who will-declare and as king of-Salem
εἰρήνη δὲ τοῦτο, καὶ ὡς βασιλεὺς δικαιοσύνης, καὶ ὡς
peace and this and as king of-righteousness and as
ἀποδεκατῶν πατριάρχας κατὰ τῶν πονηρῶν δυνάμεων
tithing patriarchs against the evil powers
ἀριστεύοντας. ἔχεις τὰς τοῦ υἱοῦ προσηγορίας. βάδιζε δι'
excelling you-have the of-the son titles walk through
αὐτῶν, ὅσαι τε ὑψηλαί, θεικῶς, καὶ ὅσαι σωματικαί,
them as-many-as both (are)-lofty divinely and as-many (as-are)-bodily
συμπαθῶς· μᾶλλον δὲ ὅλον θεικῶς, ἵνα γένῃ θεὸς
sympathetically rather but wholly divinely that you-may-become god
κάτωθεν ἀνελθών, διὰ τὸν κατελθόντα δι' ἡμᾶς
from-below having-ascended because-of the(-one) having-descended for us
ἄνωθεν. ἐπὶ πᾶσι, καὶ πρὸ πάντων, ἐκεῖνο τήρει, καὶ
from-above above all and before all that keep and
οὐκ ἂν σφαλείης ἐν τοῖς ὑψηλοτέροις ἢ ταπεινοτέροις
not — you-would-err in the loftier or lowlier
ὀνόμασιν· Ἰησοῦς Χριστός, χθὲς καὶ σήμερον σωματικῶς,
names Jesus Christ yesterday and today bodily
ὁ αὐτὸς πνευματικῶς, καὶ εἰς τοὺς αἰῶνας. Ἀμήν.
the same spiritually and unto the ages amen

The opponents call the Spirit a strange god, unwritten in Scripture. Gregory proclaims one light: the Father, the Son, and the Spirit. If there was a time when the Spirit was not, the Godhead was once incomplete, and a Spirit ranked with us could not deify us. Some call him an activity, others a creature or God, others are undecided; but an activity does not speak or grieve, and a substance is creature or God, and we do not believe in a creature.

1 Ὁ μὲν δὴ περὶ τοῦ υἱοῦ λόγος τοιοῦτος· καὶ οὕτω
the indeed truly about the son account such and thus
διαπέφευγε τοὺς λιθάζοντας, διελθὼν διὰ μέσου αὐτῶν.
has-escaped those stoning having-passed through (the)-midst of-them
ὁ λόγος γὰρ οὐ λιθάζεται, λιθοβολεῖ δέ, ὅταν ἐθέλῃ, καὶ
the word for not is-stoned stones but whenever it-wishes and
σφενδονᾷ θηρία, λόγους κακῶς τῷ ὄρει προσβαίνοντας.
slings (at)-beasts words wrongly to-the mountain approaching
τί δ' ἂν εἴποις, φασί, περὶ τοῦ ἁγίου πνεύματος; πόθεν
what and — would-you-say they-say about the holy spirit whence
ἡμῖν ἐπεισάγεις ξένον θεὸν καὶ ἄγραφον; τοῦτο ἤδη
on-us do-you-bring-in (a)-strange God and unwritten this already
καὶ οἱ περὶ τὸν υἱὸν μετριάζοντες. ὅπερ γὰρ ἐπὶ
even those about the son moderating as for in-the-case-of
τῶν ὁδῶν εὑρεῖν ἐστὶ καὶ τῶν ποταμῶν, σχίζονταί τε
the roads to-find it-is and of-the rivers they-are-divided both
ἀπ' ἀλλήλων, καὶ εἰς ἄλληλα συνάγονται· τοῦτο κἀνταῦθα
from one-another and into one-another are-gathered this here-too
συμβαίνει διὰ τὸν πλοῦτον τῆς ἀσεβείας, καὶ τοὺς τὰ
happens because-of the wealth of-the impiety even those in-the
ἄλλα διεστῶτας ἐν ἄλλοις συμφέρεσθαι, ὥστε μηδὲ
other(-things) differing in others to-agree so-that not-even
γινώσκειν καθαρῶς δύνασθαι τὸ συμφέρον ἢ τὸ μαχόμενον.
to-know clearly to-be-able the agreeing or the fighting

Ἔχει μὲν οὖν τι καὶ δυσχερὲς ὁ περὶ τοῦ πνεύματος 2
has indeed then something also difficult the about the spirit
λόγος, οὐ μόνον ὅτι ἐν τοῖς περὶ τοῦ υἱοῦ λόγοις
account not only because in the about the son accounts
ἀποκαμόντες οἱ ἄνθρωποι θερμότερον τῷ πνεύματι
having-grown-weary the men more-hotly with-the spirit
προσπαλαίουσι· χρὴ γάρ τι πάντως αὐτοὺς ἀσεβεῖν, ἢ
wrestle must for somehow altogether they be-impious or
οὐδὲ βιωτός ἐστιν αὐτοῖς ὁ βίος· ἀλλ᾽ ὅτι καὶ ἡμεῖς τῷ
not-even livable is to-them the life but because also we by-the
πλήθει τῶν ζητημάτων ἀποκναισθέντες ταὐτὸ πάσχομεν τοῖς
multitude of-the questions worn-out the-same suffer as-the
κακοσίτοις, οἳ ἐπειδὰν πρός τι τῶν βρωμάτων ἀηδισθῶσι,
sick-stomached who whenever toward some of-the foods they-are-disgusted
πρὸς πάντα λόγον ὁμοίως, ὥσπερ ἐκεῖνοι πρὸς τροφήν,
toward every word alike as they toward food
δυσχεραίνομεν. ὅμως διδότω τὸ πνεῦμα, καὶ ὁ λόγος
we-are-squeamish nevertheless let-grant the spirit and the word
δραμεῖται, καὶ ὁ θεὸς δοξασθήσεται. τὸ μὲν οὖν ἐπιμελῶς
will-run and — God will-be-glorified the indeed then carefully
ἐξετάζειν καὶ διαιρεῖσθαι, ποσαχῶς ἢ τὸ πνεῦμα ἢ
to-examine and to-distinguish in-how-many-ways either the spirit or
τὸ ἅγιον παρὰ τῇ θείᾳ γραφῇ νοεῖται καὶ λέγεται, μετὰ
the holy in the divine writing is-understood and is-said with
τῶν προσφόρων τῇ θεωρίᾳ μαρτυριῶν, καὶ ὅ τι παρὰ
the suitable to-the contemplation testimonies and what — beside
ταῦτα ἰδιοτρόπως τὸ ἐξ ἀμφοῖν συνημμένον, λέγω δὲ
these(-things) peculiarly the from both joined I-mean and
τὸ πνεῦμα τὸ ἅγιον, ἑτέροις παρήσομεν, οἳ καὶ ἑαυτοῖς
the spirit the holy to-others we-will-leave who both for-themselves

καὶ ἡμῖν ταῦτα πεφιλοσοφήκασιν, ἐπεὶ καὶ ἡμεῖς ταῦτα
and for-us these(-things) have-philosophized since also we these(-things)
ἐκείνοις. αὐτοὶ δὲ πρὸς τὰ ἑξῆς τοῦ λόγου τρεψόμεθα.
for-them ourselves and to the next of-the argument we-will-turn

3 Οἱ μὲν οὖν, ὡς ξένον τινὰ θεὸν καὶ παρέγγραπτον
they indeed then as strange some God and interpolated
εἰσαγόντων ἡμῶν τὸ πνεῦμα τὸ ἅγιον, δυσχεραίνοντες,
bringing-in we the spirit the holy annoyed
καὶ σφόδρα προπολεμοῦντες τοῦ γράμματος, ἴστωσαν
and exceedingly fighting-for the letter let-them-know
ἐκεῖ φοβούμενοι φόβον, οὗ μὴ ἔστι φόβος, καὶ σαφῶς
there fearing fear where not is fear and clearly
γινωσκέτωσαν ὅτι ἔνδυμα τῆς ἀσεβείας ἐστὶν αὐτοῖς ἡ
let-them-know that (the)-cloak of-the impiety is to-them the
φιλία τοῦ γράμματος, ὡς δειχθήσεται μικρὸν ὕστερον,
love of-the letter as will-be-shown a-little later
ἐπειδὰν τὰς ἐνστάσεις αὐτῶν εἰς δύναμιν διελέγξωμεν.
when the objections of-them to (our)-power we-refute
ἡμεῖς δὲ τοσοῦτον θαρροῦμεν τῇ θεότητι τοῦ πνεύματος,
we but so-much are-confident in-the godhead of-the spirit
ὃ πρεσβεύομεν, ὥστε καὶ τῆς θεολογίας ἐντεῦθεν
whom we-revere so-that even from-the theology hence
ἀρξόμεθα, τὰς αὐτὰς τῇ τριάδι φωνὰς ἐφαρμόζοντες,
we-will-begin the same to-the trinity expressions applying
κἂν τισι δοκῇ τολμηρότερον. ἦν τὸ φῶς τὸ ἀληθινόν,
even-if to-some it-seems more-daring was the light the true
ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον,
which enlightens every man coming into the world
ὁ πατήρ. ἦν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα
the father was the light the true which enlightens every
ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, ὁ υἱός. ἦν τὸ φῶς τὸ
man coming into the world the son was the light the

ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν
true which enlightens every man coming into the
κόσμον, ὁ ἄλλος παράκλητος. ἦν, καὶ ἦν, καὶ ἦν· ἀλλ' ἓν
world the other advocate was and was and was but one
ἦν. φῶς, καὶ φῶς, καὶ φῶς· ἀλλ' ἓν φῶς, εἷς θεός. τοῦτό
was light and light and light but one light one God this
ἐστιν ὃ καὶ Δαβὶδ ἐφαντάσθη πρότερον, λέγων· Ἐν τῷ
is which also David imagined before saying in the
φωτί σου ὀψόμεθα φῶς. καὶ νῦν ἡμεῖς καὶ τεθεάμεθα καὶ
light of-you we-shall-see light and now we both have-beheld and
κηρύσσομεν, ἐκ φωτὸς τοῦ πατρὸς φῶς καταλαμβάνοντες
proclaim from light the father light comprehending
τὸν υἱὸν ἐν φωτὶ τῷ πνεύματι, σύντομον καὶ ἀπέριττον τῆς
the son in light the spirit concise and unadorned of-the
τριάδος θεολογίαν. ὁ ἀθετῶν ἀθετείτω, ὁ ἀνομῶν
trinity theology the(-one) rejecting let-him-reject the(-one) being-lawless
ἀνομείτω· ἡμεῖς ὃ νενοήκαμεν, καὶ κηρύσσομεν. ἐπ'
let-him-be-lawless we what we-have-understood also proclaim upon
ὄρος ὑψηλὸν ἀναβησόμεθα καὶ βοήσομεν, εἰ μὴ κάτωθεν
(a)-mountain high we-will-go-up and will-shout if not from-below
ἀκουοίμεθα. ὑψώσομεν τὸ πνεῦμα, οὐ φοβηθησόμεθα. εἰ
we-should-be-heard we-will-exalt the spirit not we-shall-fear if
δὲ καὶ φοβηθησόμεθα, ἡσυχάζοντες, οὐ κηρύσσοντες·
but even we-shall-fear being-still not proclaiming
Εἰ ἦν ὅτε οὐκ ἦν ὁ πατήρ, ἦν ὅτε οὐκ ἦν ὁ υἱός. 4
if there-was when not was the father there-was when not was the son
εἰ ἦν ὅτε οὐκ ἦν ὁ υἱός, ἦν ὅτε οὐδὲ τὸ πνεῦμα
if there-was when not was the son there-was when not-even the spirit
τὸ ἅγιον. εἰ τὸ ἓν ἦν ἀπ' ἀρχῆς, καὶ τὰ τρία. εἰ τὸ ἓν
the holy if the one was from beginning also the three if the one
κάτω βάλλεις, τολμῶ, καὶ λέγω, μηδὲ τὰ δύο θῇς ἄνω.
down you-cast I-dare and say not-even the two set up

τίς γὰρ ἀτελοῦς θεότητος ὄνησις; μᾶλλον δὲ τίς θεότης,
what for of-incomplete godhead (the)-profit rather and what godhead
εἰ μὴ τελεία; τελεία δὲ πῶς, ᾗ λείπει τι πρὸς
if not perfect perfect and how to-which lacks something toward
τελείωσιν; λείπει δέ πως, μὴ ἐχούσῃ τὸ ἅγιον· ἔχοι
perfection lacks and somehow not having the holy would-it-have
δ' ἂν πῶς, μὴ τοῦτο ἔχουσα; ἢ γὰρ ἄλλη τις παρὰ
and — how not this having either for other some besides
τοῦτο ἡ ἁγιότης· καὶ ἥ τις αὕτη νοεῖται, λεγέτω τις·
this the holiness and what — this is-understood let-say someone
ἢ εἴπερ ἡ αὐτή, πῶς οὐκ ἀπ' ἀρχῆς; ὥσπερ ἄμεινον
or if-indeed the same how not from beginning as better
ὂν τῷ θεῷ εἶναί ποτε ἀτελεῖ, καὶ δίχα πνεύματος. εἰ
being — for-God to-be ever incomplete and without spirit if
μὴ ἀπ' ἀρχῆς ἦν, μετ' ἐμοῦ τέτακται, καὶ εἰ μικρὸν πρὸ
not from beginning he-was with me he-is-ranked even if a-little before
ἐμοῦ. χρόνῳ γὰρ ἀπὸ θεοῦ τεμνόμεθα. εἰ τέτακται μετ'
me by-time for from God we-are-cut-off if he-is-ranked with
ἐμοῦ, πῶς ἐμὲ ποιεῖ θεόν, ἢ πῶς συνάπτει θεότητι;
me how me does-he-make God or how does-he-join to-godhead
5 Μᾶλλον δὲ φιλοσοφήσω σοι περὶ αὐτοῦ μικρὸν ἄνωθεν.
rather and I-will-philosophize to-you about him a-little from-above
περὶ τριάδος γὰρ καὶ πρότερον διειλήφαμεν. τὸ πνεῦμα
about (the)-trinity for also before we-have-discussed the spirit
τὸ ἅγιον Σαδδουκαῖοι μὲν οὐδὲ εἶναι τὸ παράπαν
the holy Sadducees indeed not-even to-be the at-all
ἐνόμισαν· οὐδὲ γὰρ ἀγγέλους, οὐδὲ ἀνάστασιν· οὐκ οἶδ'
thought not-even for angels nor resurrection not I-know
ὅθεν τὰς τοσαύτας περὶ αὐτοῦ μαρτυρίας ἐν τῇ παλαιᾷ
whence the so-many about him testimonies in the old
διαπτύσαντες. Ἑλλήνων δὲ οἱ θεολογικώτεροι, καὶ μᾶλλον
having-spat-upon of-Greeks and the more-theological and more

ἡμῖν προσεγγίσαντες, ἐφαντάσθησαν μέν, ὡς ἐμοὶ δοκεῖ·
to-us having-come-near imagined(-him) indeed as to-me it-seems
περὶ δὲ τὴν κλῆσιν διηνέχθησαν, νοῦν τοῦ παντός, καὶ τὸν
about but the name they-differed mind of-the all and the
θύραθεν νοῦν, καὶ τὰ τοιαῦτα προσαγορεύσαντες. τῶν δὲ
from-outside mind and the such(-things) having-called of-the but
καθ' ἡμᾶς σοφῶν οἱ μὲν ἐνέργειαν τοῦτο ὑπέλαβον, οἱ
among us wise(-men) some indeed (an)-activity this supposed others
δὲ κτίσμα, οἱ δὲ θεόν, οἱ δὲ οὐκ ἔγνωσαν ὁπότερον
and (a)-creature others and God others and not knew which
τούτων, αἰδοῖ τῆς γραφῆς, ὥς φασιν, ὡς οὐδέτερον
of-these from-reverence of-the scripture as they-say as neither
σαφῶς δηλωσάσης. καὶ διὰ τοῦτο οὔτε σέβουσιν, οὔτε
clearly having-shown and because-of this neither they-revere nor
ἀτιμάζουσι, μέσως πως περὶ αὐτοῦ διακείμενοι, μᾶλλον
dishonor in-a-middle-way somehow about him disposed rather
δὲ καὶ λίαν ἀθλίως. καὶ τῶν θεὸν ὑπειληφότων οἱ μὲν
and also very wretchedly and of-those God having-supposed some indeed
ἄχρι διανοίας εἰσὶν εὐσεβεῖς, οἱ δὲ τολμῶσιν εὐσεβεῖν
as-far-as thought are pious others and dare to-be-pious
καὶ τοῖς χείλεσιν. ἄλλων δὲ ἤκουσα μετρούντων θεότητα
also with-the lips of-others and I-heard measuring godhead
σοφωτέρων, οἳ τρία μὲν εἶναι καθ' ἡμᾶς ὁμολογοῦσι τὰ
wiser who three indeed to-be like us confess the(-things)
νοούμενα, τοσοῦτον δὲ ἀλλήλων διέστησαν, ὡς τὸ μὲν
understood so-much but from-one-another they-separated as the(-one) indeed
καὶ οὐσίᾳ καὶ δυνάμει ποιεῖν ἀόριστον· τὸ δὲ δυνάμει
both in-substance and in-power to-make unlimited the(-other) and in-power
μέν, οὐκ οὐσίᾳ δέ· τὸ δὲ ἀμφοτέροις περιγραπτόν·
indeed not in-substance and the(-other) and in-both circumscribed
ἄλλον τρόπον μιμούμενοι τοὺς δημιουργόν, καὶ συνεργόν,
in-another way imitating those creator and co-worker

καὶ λειτουργὸν ὀνομάζοντας, καὶ τὴν ἐν τοῖς ὀνόμασι τάξιν
and minister naming and the in the names order
καὶ χάριν τῶν πραγμάτων ἀκολουθίαν εἶναι νομίζοντας.
and grace of-the things sequence to-be thinking
6 Ἡμῖν δὲ πρὸς μὲν τοὺς οὐδὲ εἶναι ὑπειληφότας οὐδεὶς
to-us and toward indeed those not-even to-be having-supposed no
λόγος, ἢ τοὺς ληροῦντας ἐν Ἕλλησιν. μηδὲ γὰρ
word or those talking-nonsense among Greeks not-even for
ἁμαρτωλῶν ἐλαίῳ πιανθείημεν εἰς τὸν λόγον. πρὸς δὲ
of-sinners with-oil may-we-be-anointed for the argument toward but
τοὺς ἄλλους οὕτω διαλεξόμεθα. τὸ πνεῦμα τὸ ἅγιον ἢ
the others thus we-will-argue the spirit the holy either
τῶν καθ' ἑαυτὸ ὑφεστηκότων πάντως ὑποθετέον, ἢ
among-the(-things) by itself subsisting altogether must-be-supposed or
τῶν ἐν ἑτέρῳ θεωρουμένων· ὧν τὸ μὲν οὐσίαν
among-the(-things) in another contemplated of-which the(-one) indeed substance
καλοῦσιν οἱ περὶ ταῦτα δεινοί, τὸ δὲ συμβεβηκός. εἰ
call those about these(-things) clever the(-other) and accident if
μὲν οὖν συμβέβηκεν, ἐνέργεια τοῦτο ἂν εἴη θεοῦ. τί γὰρ
indeed then it-is-accidental (an)-activity this — would-be of-God what for
ἕτερον, ἢ τίνος; τοῦτο γάρ πως μᾶλλον καὶ φεύγει σύνθεσιν.
other or of-whom this for somehow rather also flees composition
καὶ εἰ ἐνέργεια, ἐνεργηθήσεται δῆλον ὅτι, οὐκ ἐνεργήσει, καὶ
and if (an)-activity it-will-be-effected clear that not it-will-act and
ὁμοῦ τῷ ἐνεργηθῆναι παύσεται. τοιοῦτον γὰρ ἡ ἐνέργεια.
at-once with-the to-be-effected it-will-cease such for the activity
πῶς οὖν ἐνεργεῖ, καὶ τάδε λέγει, καὶ ἀφορίζει, καὶ
how then does-it-act and these(-things) says and determines and
λυπεῖται, καὶ παροξύνεται, καὶ ὅσα κινουμένου σαφῶς ἐστίν,
is-grieved and is-provoked and whatever of-(one)-moving clearly is
οὐ κινήσεως; εἰ δὲ οὐσία τις, οὐ τῶν περὶ τὴν οὐσίαν,
not of-motion if and substance some not of-the(-things) about the substance

ἤτοι κτίσμα ὑποληφθήσεται, ἢ θεός. μέσον γάρ τι
either (a)-creature it-will-be-supposed or God middle for something
τούτων, ἤτοι μηδετέρου μετέχον, ἢ ἐξ ἀμφοῖν σύνθετον,
of-these either of-neither partaking or from both composite
οὐδ' ἂν οἱ τοὺς τραγελάφους πλάττοντες ἐννοήσαιεν.
not-even — those the goat-stags fashioning would-conceive
ἀλλ' εἰ μὲν κτίσμα, πῶς εἰς αὐτὸ πιστεύομεν, ἢ ἐν αὐτῷ
but if indeed (a)-creature how in it do-we-believe or in it
τελειούμεθα; οὐ γὰρ ταὐτόν ἐστι πιστεύειν εἴς τι, καὶ περὶ
are-we-perfected not for the-same is to-believe in something and about
αὐτοῦ πιστεύειν. τὸ μὲν γάρ ἐστι θεότητος, τὸ δὲ
it to-believe the(-one) indeed for is of-godhead the(-other) and
παντὸς πράγματος. εἰ δὲ θεός, ἀλλ' οὐ κτίσμα, οὐδὲ ποίημα,
of-every thing if and God but not (a)-creature nor thing-made
οὐδὲ σύνδουλον, οὐδ' ὅλως τι τῶν ταπεινῶν ὀνομάτων.
nor fellow-servant nor at-all anything of-the lowly names

XVII · THE PROCESSION

Is the Spirit unbegotten or begotten? Gregory rejects the dilemma: he proceeds from the Father, neither unbegotten nor begotten, and is God, differing from the Son in manner, not in nature. Adam, Eve, and Seth, molded, cut, and begotten, share one nature. We worship and pray in the Spirit, and the worship of one is worship of the three; the things made through the Son do not include the Spirit.

Ἐνταῦθα σὸς ὁ λόγος· αἱ σφενδόναι πεμπέσθωσαν, 7
here (is)-yours the word the slings let-be-sent
οἱ συλλογισμοὶ πλεκέσθωσαν. ἢ ἀγέννητον πάντως, ἢ
the syllogisms let-be-woven either unbegotten altogether or
γεννητόν. καὶ εἰ μὲν ἀγέννητον, δύο τὰ ἄναρχα. εἰ
begotten and if indeed unbegotten two the beginningless(-ones) if

δὲ γεννητόν, ὑποδιαίρει πάλιν· ἢ ἐκ τοῦ πατρὸς τοῦτο,
and begotten subdivide again either from the father this
ἢ ἐκ τοῦ υἱοῦ. καὶ εἰ μὲν ἐκ τοῦ πατρός, υἱοὶ δύο καὶ
or from the son and if indeed from the father sons two and
ἀδελφοί. σὺ δέ μοι πλάττε καὶ διδύμους, εἰ βούλει, ἢ
brothers you and for-me fashion also twins if you-wish or
τὸν μὲν πρεσβύτερον, τὸν δὲ νεώτερον· ἐπειδὴ λίαν
the(-one) indeed elder the(-other) and younger since very
εἶ φιλοσώματος. εἰ δὲ ἐκ τοῦ υἱοῦ, πέφηνέ, φησι, καὶ
you-are body-loving if and from the son be-has-appeared be-says also
υἱωνὸς ἡμῖν θεός· οὗ τί ἂν γένοιτο παραδοξότερον;
(a)-grandson to-us God than-which what — could-be more-paradoxical
ταῦτα μὲν οὖν οἱ σοφοὶ τοῦ κακοποιῆσαι, τὰ δὲ ἀγαθὰ
these(-things) indeed then the wise of-the to-do-evil the but good(-things)
γράφειν οὐ θέλοντες. ἐγὼ δὲ εἰ μὲν ἑώρων ἀναγκαίαν τὴν
to-write not wishing I but if indeed I-saw necessary the
διαίρεσιν, ἐδεξάμην ἂν τὰ πράγματα, οὐ φοβηθεὶς τὰ
division I-would-have-accepted — the things not fearing the
ὀνόματα. οὐ γάρ, ἐπειδὴ κατά τινα σχέσιν ὑψηλοτέραν
names not for because according-to some relation higher
υἱὸς ὁ υἱός, οὐ δυνηθέντων ἡμῶν ἄλλως ἢ οὕτως
son the son not being-able us otherwise than thus
ἐνδείξασθαι τὸ ἐκ τοῦ θεοῦ καὶ ὁμοούσιον, ἤδη καὶ
to-indicate the from — God and consubstantial already also
πάσας οἰητέον ἀναγκαῖον εἶναι τὰς κάτω κλήσεις, καὶ
all one-must-think necessary to-be the below names and
τῆς ἡμετέρας συγγενείας, μεταφέρειν ἐπὶ τὸ θεῖον. ἢ τάχα
of-the our kinship to-transfer to the divine or perhaps
ἂν σύ γε καὶ ἄρρενα τὸν θεὸν ἡμῖν ὑπολάβοις, κατὰ
— you at-least also male — God to-us might-suppose according-to
τὸν λόγον τοῦτον, ὅτι θεὸς ὀνομάζεται, καὶ πατήρ; καὶ
the argument this because God is-named and father and

θῆλύ τι τὴν θεότητα, ὅσον ἐπὶ ταῖς κλήσεσι; καὶ τὸ
female something the godhead as-far as-regards the names and the
πνεῦμα οὐδέτερον, ὅτι μὴ γεννητικόν; εἰ δέ σοι καὶ τοῦτο
spirit neuter because not generative if and to-you also this
παιχθείη, τῇ ἑαυτοῦ θελήσει τὸν θεὸν συγγενόμενον,
should-be-jested by-the his-own will — God having-had-intercourse
κατὰ τοὺς παλαιοὺς λήρους καὶ μύθους, γεννήσασθαι τὸν
according-to the old drivelings and myths to-have-begotten the
υἱόν, εἰσήχθη τις ἡμῖν καὶ Μαρκίωνος καὶ Οὐαλεντίνου θεὸς
son was-introduced some to-us both of-Marcion and of-Valentinus God
ἀρρενόθηλυς, τοῦ τοὺς καινοὺς αἰῶνας ἀνατυπώσαντος.
male-female the(-one) the new aeons having-modeled
Ἐπεὶ δέ σου τὴν πρώτην διαίρεσιν οὐ δεχόμεθα, τὴν 8
since and of-you the first division not we-accept the
μηδὲν ἀγεννήτου καὶ γεννητοῦ μέσον ὑπολαμβάνουσαν,
nothing of-unbegotten and of-begotten middle supposing
αὐτίκα οἰχήσονταί σοι μετὰ τῆς σεμνῆς διαιρέσεως οἱ
at-once will-be-gone for-you with the august division the
ἀδελφοὶ καὶ οἱ υἱωνοί, ὥσπερ τινὸς δεσμοῦ πολυπλόκου
brothers and the grandsons as of-some bond much-entwined
τῆς πρώτης ἀρχῆς λυθείσης συνδιαλυθέντες, καὶ τῆς
the first beginning having-been-loosed dissolved-together and from-the
θεολογίας ὑποχωρήσαντες. ποῦ γὰρ θήσεις τὸ ἐκπορευτόν,
theology having-withdrawn where for will-you-set the proceeding
εἰπέ μοι, μέσον ἀναφανὲν τῆς σῆς διαιρέσεως, καὶ παρὰ
tell me middle having-appeared of-the your division and by
κρείσσονος ἢ κατὰ σὲ θεολόγου, τοῦ σωτῆρος ἡμῶν,
(a)-better than according-to you theologian the savior our
εἰσαγόμενον; εἰ μὴ τὴν φωνὴν ἐκείνην τῶν σῶν ἐξεῖλες
introduced unless — the saying that from-the your you-cut-out
εὐαγγελίων, διὰ τὴν τρίτην σου διαθήκην, Τὸ πνεῦμα
gospels because-of the third your testament the spirit

τὸ ἅγιον, ὃ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· ὃ καθ'
the holy which from the father proceeds which in
ὅσον μὲν ἐκεῖθεν ἐκπορεύεται, οὐ κτίσμα· καθ' ὅσον
as-far-as indeed from-there it-proceeds not (a)-creature in as-far-as
δὲ οὐ γεννητόν, οὐχ υἱός· καθ' ὅσον δὲ ἀγεννήτου καὶ
but not begotten not son in as-far-as and of-unbegotten and
γεννητοῦ μέσον, θεός. καὶ οὕτω σου τὰς τῶν συλλογισμῶν
of-begotten middle God and thus your the of-the syllogisms
ἄρκυς διαφυγὸν θεὸς ἀναπέφηνε, τῶν σῶν διαιρέσεων
nets having-escaped God has-appeared than-the your divisions
ἰσχυρότερος. τίς οὖν ἡ ἐκπόρευσις; εἰπὲ σὺ τὴν ἀγεννησίαν
stronger what then the procession tell you the unbegottenness
τοῦ πατρός, κἀγὼ τὴν γέννησιν τοῦ υἱοῦ φυσιολογήσω,
of-the father and-I the generation of-the son will-explain-physically
καὶ τὴν ἐκπόρευσιν τοῦ πνεύματος, καὶ παραπληκτίσωμεν
and the procession of-the spirit and let-us-go-mad
ἄμφω εἰς θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα
both into of-God mysteries peeping and these(-things)
τίνες; οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ
who those not-even the(-things) at feet to-know able nor
ψάμμον θαλασσῶν, καὶ σταγόνας ὑετοῦ, καὶ ἡμέρας αἰῶνος
(the)-sand of-seas and drops of-rain and days of-eternity
ἐξαριθμεῖσθαι, μὴ ὅτι γε θεοῦ βάθεσιν ἐμβατεύειν, καὶ
to-number not that at-least of-God depths to-enter and
λόγον ὑπέχειν τῆς οὕτως ἀρρήτου καὶ ὑπὲρ λόγον φύσεως.
account to-give of-the so ineffable and beyond reason nature

9 Τί οὖν ἐστί, φησιν, ὃ λείπει τῷ πνεύματι, πρὸς τὸ
what then is-it he-says which is-lacking to-the spirit for the
εἶναι υἱόν; εἰ γὰρ μὴ λεῖπόν τι ἦν, υἱὸς ἂν ἦν.
to-be son if for not lacking something were son — he-would-be
οὐ λείπειν φαμέν· οὐδὲ γὰρ ἐλλειπὴς θεός· τὸ δὲ τῆς
not to-lack we-say not-even for deficient God the but of-the

ἐκφάνσεως, ἵν᾽ οὕτως εἴπω, ἢ τῆς πρὸς ἄλληλα σχέσεως
manifestation that thus I-may-say or of-the toward one-another relation
διάφορον διάφορον αὐτῶν καὶ τὴν κλῆσιν πεποίηκεν. οὐδὲ
difference different of-them also the name has-made not-even
γὰρ τῷ υἱῷ λείπει τι πρὸς τὸ εἶναι πατέρα, οὐδὲ
for to-the son lacks anything for the to-be father not-even
γὰρ ἔλλειψις ἡ υἱότης, ἀλλ᾽ οὐ παρὰ τοῦτο πατήρ. ἢ
for (a)-deficiency the sonship but not because-of this (he-is)-father or
οὕτω γε καὶ τῷ πατρὶ λείψει τι πρὸς τὸ εἶναι υἱόν·
thus at-least also to-the father will-lack something for the to-be son
οὐ γὰρ υἱὸς ὁ πατήρ. ἀλλ᾽ οὐκ ἐλλείψεως ταῦτά ποθεν,
not for son the father but not of-deficiency these(-things) somehow
οὐδὲ τῆς κατὰ τὴν οὐσίαν ὑφέσεως· αὐτὸ δὲ τὸ μὴ
nor of-the according-to the substance subordination itself but the not
γεγεννῆσθαι, καὶ τὸ γεγεννῆσθαι, καὶ τὸ ἐκπορεύεσθαι,
to-have-been-begotten and the to-have-been-begotten and the to-proceed
τὸν μὲν πατέρα, τὸν δὲ υἱόν, τὸ δὲ τοῦθ᾽ ὅπερ
the(-one) indeed father the(-other) and son the(-other) and this which
λέγεται πνεῦμα ἅγιον προσηγόρευσεν, ἵνα τὸ ἀσύγχυτον
is-called spirit holy named that the unconfused
σώζηται τῶν τριῶν ὑποστάσεων ἐν τῇ μιᾷ φύσει τε καὶ
be-preserved of-the three hypostases in the one nature both and
ἀξίᾳ τῆς θεότητος. οὔτε γὰρ ὁ υἱὸς πατήρ, εἷς γὰρ πατήρ,
dignity of-the godhead neither for the son father one for father
ἀλλ᾽ ὅπερ ὁ πατήρ· οὔτε τὸ πνεῦμα υἱὸς ὅτι ἐκ τοῦ
but what the father nor the spirit son because from —
θεοῦ, εἷς γὰρ ὁ μονογενής, ἀλλ᾽ ὅπερ ὁ υἱός· ἓν τὰ τρία
God one for the only-begotten but what the son one the three
τῇ θεότητι, καὶ τὸ ἓν τρία ταῖς ἰδιότησιν· ἵνα μήτε τὸ ἓν
in-the godhead and the one three in-the properties that neither the one
Σαβέλλιον ᾖ, μήτε τὰ τρία τῆς πονηρᾶς νῦν διαιρέσεως.
Sabellian be nor the three of-the evil now division

10 Τί οὖν; θεὸς τὸ πνεῦμα; πάνυ γε. τί οὖν, ὁμοούσιον;
what then God the spirit very at-least what then consubstantial
εἴπερ θεός. δὸς οὖν μοί, φησιν, ἐκ τοῦ αὐτοῦ τὸ μὲν
if-indeed God grant then to-me he-says from the same the(-one) indeed
υἱόν, τὸ δὲ οὐχ υἱόν, εἶτα ὁμοούσια, καὶ δέχομαι θεὸν
son the(-other) and not son then consubstantial and I-accept God
καὶ θεόν. δός μοι καὶ σὺ θεὸν ἄλλον, καὶ φύσιν θεοῦ, καὶ
and God grant to-me also you God another and (a)-nature of-God and
δώσω σοι τὴν αὐτὴν τριάδα μετὰ τῶν αὐτῶν ὀνομάτων
I-will-grant you the same trinity with the same names
τε καὶ πραγμάτων. εἰ δὲ εἷς θεὸς μία φύσις ἡ ἀνωτάτω,
both and things if but one God one nature the highest
πόθεν παραστήσω σοι τὴν ὁμοίωσιν; ἢ ζητεῖς πάλιν
whence shall-I-present to-you the likeness or do-you-seek again
ἐκ τῶν κάτω καὶ τῶν περὶ σέ; λίαν μὲν αἰσχρόν,
from the below(-things) and the(-things) around you very indeed shameful
καὶ οὐκ αἰσχρὸν μόνον, ἀλλὰ καὶ μάταιον ἐπιεικῶς, ἐκ
and not shameful only but also vain reasonably from
τῶν κάτω τῶν ἄνω τὴν εἰκασίαν λαμβάνειν, καὶ
the below(-things) of-the above(-things) the comparison to-take and
τῶν ἀκινήτων ἐκ τῆς ῥευστῆς φύσεως, καί, ὅ φησιν
of-the unmoving(-things) from the flowing nature and what says
Ἡσαίας, ἐκζητεῖσθαι τὰ ζῶντα ἐν τοῖς νεκροῖς· ὅμως
Isaiah to-be-sought the living among the dead nevertheless
δὲ πειράσομαι, σὴν χάριν, κἀντεῦθεν δοῦναί τινα τῷ
and I-will-try for-your sake from-here-too to-give some to-the
λόγῳ βοήθειαν. τὰ μὲν οὖν ἄλλα παρήσειν μοι δοκῶ,
argument help the indeed then other(-things) to-pass-over to-me I-seem
πολλὰ ἂν ἔχων ἐκ τῆς περὶ ζώων ἱστορίας εἰπεῖν,
many(-things) — having from the about animals history to-say
τὰ μὲν ἡμῖν γνώριμα, τὰ δὲ τοῖς ὀλίγοις, ὅσα
the(-things) indeed to-us known the(-others) and to-the few as-much-as

περὶ τὰς τῶν ζώων γενέσεις ἡ φύσις ἐφιλοτεχνήσατο.
about the of-the animals generations the nature contrived-artfully
γεννᾶσθαι γὰρ λέγεται, οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ
to-be-begotten for is-said not from the same the same
μόνον, οὐδὲ ἐξ ἑτέρων ἕτερα, ἀλλὰ καὶ ἐξ ἑτέρων τὰ
only nor from others others but also from others the
αὐτά, καὶ ἐκ τῶν αὐτῶν ἕτερα. εἰ δέ τῳ πιστὸς
same and from the same others if but to-anyone credible
ὁ λόγος, καὶ ἄλλος ἐστὶ τρόπος γεννήσεως, αὐτό τι
the account also another is (a)-way of-generation itself something
ὑφ᾽ ἑαυτοῦ δαπανώμενον καὶ τικτόμενον. ἔστι δὲ ἃ
by itself being-consumed and being-born there-are and which
καὶ ἐξίσταταί πως ἑαυτῶν, ἐξ ἄλλων ζώων εἰς ἄλλα
also depart somehow from-themselves from other animals into others
μεθιστάμενά τε καὶ μεταποιούμενα, φιλοτιμίᾳ φύσεως.
changing both and being-transformed by-ambition of-nature
ἤδη δὲ καὶ τοῦ αὐτοῦ, τὸ μὲν οὐ γέννημα, τὸ
already and also of-the same the(-one) indeed not offspring the(-other)
δὲ γέννημα, πλὴν ὁμοούσια· ὃ καὶ τῷ παρόντι πως
and offspring but consubstantial which also to-the present somehow
μᾶλλον προσέοικεν. ἓν δέ τι τῶν ἡμετέρων εἰπών,
rather resembles one and something of-the our(-things) having-said
ὃ καὶ πᾶσι γνώριμον, ἐφ᾽ ἕτερον μεταβήσομαι λόγον.
which also to-all (is)-known to another I-will-pass argument
Ὁ Ἀδὰμ τί ποτε ἦν; πλάσμα θεοῦ. τί δὲ ἡ 11
— Adam what ever was-he (a)-thing-molded of-God what and —
Εὖα; τμῆμα τοῦ πλάσματος. τί δὲ ὁ Σήθ; ἀμφοτέρων
Eve (a)-section of-the thing-molded what and — Seth of-both
γέννημα. ἆρ᾽ οὖν ταὐτόν σοι φαίνεται πλάσμα, καὶ τμῆμα,
(an)-offspring is-it then (the)-same to-you seems thing-molded and section
καὶ γέννημα; πῶς οὔ; ὁμοούσια δὲ ταῦτα, ἢ τί; πῶς δ᾽
and offspring how not consubstantial and these(-things) or what how and

οὔ; ὡμολόγηται οὖν καὶ τὰ διαφόρως ὑποστάντα τῆς
not it-has-been-agreed then also the(-things) differently having-subsisted of-the
αὐτῆς εἶναι οὐσίας ἐνδέχεσθαι. λέγω δὲ ταῦτα, οὐκ ἐπὶ
same to-be substance to-be-possible I-say and these(-things) not to
τὴν θεότητα φέρων τὴν πλάσιν, ἢ τὴν τομήν, ἤ τι
the godhead bringing the molding or the cutting or anything
τῶν ὅσα σώματος, μή μοί τις ἐπιφυέσθω πάλιν
of-the(-things) as-many-as (are)-of-body not to-me anyone let-attack again
τῶν λογομάχων, ἐπὶ δὲ τούτων θεωρῶν, ὡς ἐπὶ σκηνῆς,
of-the word-fighters on but these(-things) contemplating as on (a)-stage
τὰ νοούμενα. οὐδὲ γὰρ οἷόν τε τῶν εἰκαζομένων
the(-things) understood not for possible — of-the(-things) compared
οὐδὲν πρὸς πᾶσαν ἐξικνεῖσθαι καθαρῶς τὴν ἀλήθειαν. καὶ τί
any to all to-reach purely the truth and why
ταῦτά, φασιν; οὐ γὰρ τοῦ ἑνὸς τὸ μὲν γέννημα, τὸ
these(-things) they-say not for of-the one the(-one) indeed offspring the(-other)
δὲ ἄλλο τι. τί οὖν; ἡ Εὖα καὶ ὁ Σήθ, οὐχὶ τοῦ αὐτοῦ
and other something what then — Eve and — Seth not of-the same
τοῦ Ἀδάμ; τίνος γὰρ ἄλλου; ἢ καὶ ἀμφότεροι γεννήματα;
— of-Adam of-whom for another or also both offspring
οὐδαμῶς. ἀλλὰ τί; τὸ μὲν τμῆμα, τὸ δὲ γέννημα.
by-no-means but what the(-one) indeed section the(-other) and offspring
καὶ μὴν ἀμφότεροι ταὐτὸν ἀλλήλοις· ἄνθρωποι γάρ·
and indeed both the-same with-one-another men for
οὐδεὶς ἀντερεῖ. παύσῃ οὖν ἀπομαχόμενος πρὸς τὸ πνεῦμα,
no-one will-gainsay will-you-cease then fighting against the spirit
ὡς ἢ γέννημα πάντως, ἢ μὴ ὁμοούσιον, μηδὲ θεόν, καὶ
as either offspring altogether or not consubstantial nor God and
ἐκ τῶν ἀνθρωπίνων τὸ δυνατὸν λαβὼν τῆς ἡμετέρας
from the human(-things) the possible having-taken of-the our

ὑπολήψεως; ἐγὼ μὲν οἶμαί σοι καλῶς ἔχειν, εἰ μὴ λίαν
supposition I indeed think for-you well to-be if not very
ἔγνωκας φιλονεικεῖν, καὶ πρὸς τὰ δῆλα μάχεσθαι.
you-have-resolved to-be-contentious and against the clear(-things) to-fight
Ἀλλὰ τίς προσεκύνησε τῷ πνεύματί, φησιν; τίς ἢ 12
but who worshiped the spirit he-says who either
τῶν παλαιῶν, ἢ τῶν νέων; τίς δὲ προσηύξατο; ποῦ
of-the ancients or of-the new(-ones) who and prayed where
δὲ τὸ χρῆναι προσκυνεῖν ἢ προσεύχεσθαι γέγραπται;
and the to-be-necessary to-worship or to-pray is-written
καὶ πόθεν τοῦτο ἔχεις λαβών; τὴν μὲν τελεωτέραν
and whence this do-you-have having-taken the indeed more-perfect
αἰτίαν ἀποδώσομεν ὕστερον, ἡνίκα ἂν περὶ τοῦ ἀγράφου
reason we-will-give later whenever — about the unwritten
διαλεγώμεθα. νῦν δὲ τοσοῦτον εἰπεῖν ἐξαρκέσει· τὸ πνεῦμά
we-discuss now but so-much to-say will-suffice the spirit
ἐστιν, ἐν ᾧ προσκυνοῦμεν, καὶ δι' οὗ προσευχόμεθα.
is in whom we-worship and through whom we-pray
Πνεῦμα γάρ, φησιν, ὁ θεός, καὶ τοὺς προσκυνοῦντας
spirit for he-says — God and those worshiping
αὐτὸν ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖν δεῖ. καὶ
him in spirit and truth to-worship (one)-must and
πάλιν· Τὸ γὰρ τί προσευξώμεθα, καθ' ὃ δεῖ, οὐκ
again the for what we-should-pray according-to what (one)-must not
οἴδαμεν, ἀλλ' αὐτὸ τὸ πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν
we-know but itself the spirit intercedes for us
στεναγμοῖς ἀλαλήτοις. καί, Προσεύξομαι τῷ πνεύματι,
with-groanings unutterable and I-will-pray with-the spirit
προσεύξομαι δὲ καὶ τῷ νοί, τοῦτ' ἐστίν, ἐν νοὶ καὶ
I-will-pray and also with-the mind that is in mind and
πνεύματι. τὸ οὖν προσκυνεῖν τῷ πνεύματι, ἢ προσεύχεσθαι,
spirit the then to-worship the spirit or to-pray

οὐδὲν ἄλλο εἶναί μοι φαίνεται, ἢ αὐτὸ ἑαυτῷ τὴν εὐχὴν
nothing other to-be to-me seems than itself to-itself the prayer
προσάγειν καὶ τὴν προσκύνησιν. ὃ τίς οὐκ ἂν ἐπαινέσειε
to-bring and the worship which who not — would-praise
τῶν ἐνθέων, καὶ τῶν εὖ εἰδότων ὅτι καὶ ἡ τοῦ ἑνὸς
of-the inspired and of-the(-ones) well knowing that also the of-the one
προσκύνησις τῶν τριῶν ἐστὶ προσκύνησις, διὰ τὸ ἐν
worship of-the three is (the)-worship because-of the in
τοῖς τρισὶν ὁμότιμον τῆς ἀξίας καὶ τῆς θεότητος; καὶ
the three equal-in-honor of-the dignity and of-the godhead and
μὴν οὐδὲ ἐκεῖνο φοβηθήσομαι τὸ πάντα διὰ τοῦ υἱοῦ
indeed not-even that I-will-fear the all(-things) through the son
γεγονέναι λέγεσθαι, ὡς ἑνὸς τῶν πάντων ὄντος καὶ τοῦ
to-have-come-to-be to-be-said as one of-the all being also the
ἁγίου πνεύματος. πάντα γὰρ ὅσα γέγονεν, εἴρηται,
holy spirit all(-things) for whatever has-come-to-be has-been-said
οὐχ ἁπλῶς ἅπαντα· οὐδὲ γὰρ ὁ πατήρ, οὐδ' ὅσα μὴ
not simply all(-things) not-even for the father nor as-many-as not
γέγονεν. δείξας οὖν ὅτι γέγονε, τότε τῷ υἱῷ δός,
have-come-to-be having-shown then that it-has-come-to-be then to-the son grant
καὶ τοῖς κτίσμασι συναρίθμησον. ἕως δ' ἂν μὴ τοῦτο
and with-the creatures number(-it) until but — not this
δεικνύῃς, οὐδὲν τῷ περιληπτικῷ βοηθῇ πρὸς ἀσέβειαν.
you-show nothing by-the comprehensive(-word) you-are-helped toward impiety
εἰ μὲν γὰρ γέγονε, διὰ Χριστοῦ πάντως· οὐδὲ αὐτὸς
if indeed for it-has-come-to-be through Christ altogether not-even myself
ἀρνήσομαι. εἰ δὲ οὐ γέγονε, πῶς ἢ τῶν πάντων
I-will-deny if but not it-has-come-to-be how either of-the all
ἕν, ἢ διὰ Χριστοῦ; παῦσαι οὖν καὶ τὸν πατέρα κακῶς
one or through Christ cease then also the father wrongly
τιμῶν κατὰ τοῦ μονογενοῦς, — κακὴ δὲ τιμὴ κτίσμα
honoring against the only-begotten bad and (an)-honor (a)-creature

διδόντα τὸ τιμιώτερον υἱὸν ἀποστερεῖν, — καὶ τὸν υἱὸν
giving the more-precious (the)-son to-deprive and the son
κατὰ τοῦ πνεύματος. οὐ γὰρ ὁμοδούλου δημιουργός, ἀλλ᾽
against the spirit not for of-(a)-fellow-servant (the)-creator but
ὁμοτίμῳ συνδοξαζόμενος. μηδὲν μετὰ σεαυτοῦ θῇς
with-(one)-equal-in-honor glorified-together nothing with yourself set
τῆς τριάδος, μὴ τῆς τριάδος ἐκπέσῃς. μηδενὶ περικόψῃς
of-the trinity lest from-the trinity you-fall-out with-nothing cut-off
τὴν μίαν φύσιν καὶ ὁμοίως σεβάσμιον, ὡς ὅ τι ἂν
the one nature and alike venerable as whatever — —
τῶν τριῶν καθέλῃς, τὸ πᾶν ἔσῃ καθῃρηκώς, μᾶλλον δὲ
of-the three you-destroy the whole you-will-be having-destroyed rather but
τοῦ παντὸς ἐκπεπτωκώς. βέλτιον μικρὰν τῆς ἑνώσεως
from-the whole having-fallen-out better small of-the union
φαντασίαν λαβεῖν, ἢ παντελῆ τολμῆσαι δυσσέβειαν.
image to-take than utter to-dare impiety

XVIII · THREE AND ONE

Does belief in the Spirit bring three gods? What clears the Son's worshipers of two gods clears Gregory of three. The Godhead is one, undivided in the divided persons, as three suns joined give one light; the Greeks' gods, like men, are one only in thought, divided in time, passion, and power. To the claim that only things of one substance are counted together, he answers that number tells quantity, not nature, as Scripture's own counting shows.

Ἥκει δὲ ἡμῖν ὁ λόγος ἐπ᾽ αὐτὸ τὸ κεφάλαιον· καὶ 13
has-come and for-us the argument to itself the head and
στένω μέν, ὅτι πάλαι τεθνηκὸς ζήτημα, καὶ τῇ πίστει
I-groan indeed that long-ago having-died (a)-question and to-the faith
παραχωρῆσαν, νῦν ἀνακαινίζεται· στῆναι δὲ ὅμως
having-yielded now is-renewed to-stand but nevertheless

ἀναγκαῖον πρὸς τοὺς λογολέσχας, καὶ μὴ ἐρήμην ἁλῶναι,
(is)-necessary against the word-babblers and not by-default to-be-convicted
λόγον ἔχοντας, καὶ συνηγοροῦντας πνεύματι. εἰ θεός, φησι,
reason having and pleading-for (the)-spirit if God he-says
καὶ θεός, καὶ θεός, πῶς οὐχὶ τρεῖς θεοί; ἢ πῶς οὐ πολυαρχία
and God and God how not three gods or how not polyarchy
τὸ δοξαζόμενον; ταῦτα τίνες; οἱ τελεώτεροι τὴν
the(-thing) glorified these(-things) who those more-perfect in-the
ἀσέβειαν, ἢ καὶ οἱ τῆς δευτέρας μερίδος, λέγω δὲ τοὺς περὶ
impiety or also those of-the second portion I-mean and those about
τὸν υἱόν πως εὐγνώμονας; ὁ μὲν γὰρ κοινός μοι πρὸς
the son somewhat reasonable the indeed for common to-me against
ἀμφοτέρους λόγος, ὁ δὲ πρὸς τούτους ἴδιος. ὁ μὲν
both argument the(-other) and against these peculiar the indeed
οὖν πρὸς τούτους τοιοῦτος. τί φατε τοῖς τριθείταις ἡμῖν
then against these such what do-you-say to-the tritheists us
οἱ τὸν υἱὸν σέβοντες, εἰ καὶ τοῦ πνεύματος ἀφεστήκατε;
you the son revering if even from-the spirit you-have-departed
ὑμεῖς δὲ οὐ διθεῖται; εἰ μὲν γὰρ ἀρνεῖσθε καὶ τοῦ
you but not ditheists if indeed for you-deny also of-the
μονογενοῦς τὴν προσκύνησιν, σαφῶς τέταχθε μετὰ τῶν
only-begotten the worship clearly you-are-ranked with the
ἐναντίων· καὶ τί φιλανθρωπευόμεθα πρὸς ὑμᾶς ὡς οὐ πάντῃ
opponents and why are-we-humane toward you as not wholly
νενεκρωμένους; εἰ δὲ σέβεσθε, καὶ μέχρι τούτου διάκεισθε
dead if but you-revere and to this you-are-disposed
σωτηρίως, ὑμᾶς ἐρωτήσομεν· τίς ὁ λόγος τῆς διθείας
savingly you we-will-ask what the reason of-the ditheism
ὑμῖν, ἂν τοῦτο ἐγκαλῆσθε; εἰ ἔστι λόγος συνέσεως,
to-you if this you-are-charged-with if there-is (a)-word of-understanding
ἀποκρίθητε, δότε καὶ ἡμῖν ὁδὸν ἀποκρίσεως. οἷς γὰρ
answer give also to-us (a)-way of-answer by-what for

ἂν ὑμεῖς τὴν διθείαν ἀποκρούσησθε λόγοις, οὗτοι καὶ ἡμῖν
— you the ditheism repel arguments these also for-us
κατὰ τῆς τριθείας ἀρκέσουσι. καὶ οὕτω νικῶμεν, ὑμῖν τοῖς
against the tritheism will-suffice and thus we-conquer you the
κατηγόροις συνηγόροις χρώμενοι· οὗ τί γενναιότερον;
accusers as-advocates using than-which what nobler
Ὁ δὲ κοινὸς ἡμῖν πρὸς ἀμφοτέρους τίς ἀγών τε καὶ 14
the and common to-us against both what contest both and
λόγος; ἡμῖν εἷς θεός, ὅτι μία θεότης· καὶ πρὸς ἓν τὰ
argument to-us one God because one godhead and to one the(-things)
ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει, κἂν τρία πιστεύηται. οὐ
from him the reference have even-if three are-believed not
γὰρ τὸ μὲν μᾶλλον, τὸ δὲ ἧττον θεός· οὐδὲ τὸ
for the(-one) indeed more the(-other) and less God nor the(-one)
μὲν πρότερον, τὸ δὲ ὕστερον· οὐδὲ βουλήσει τέμνεται,
indeed before the(-other) and after nor by-will it-is-cut
οὐδὲ δυνάμει μερίζεται, οὐδέ τι τῶν ὅσα τοῖς
nor by-power it-is-divided nor anything of-the(-things) as-many-as to-the
μεριστοῖς ὑπάρχει, κἀνταῦθα λαβεῖν ἐστίν· ἀλλὰ ἀμέριστος
divided belong here-too to-take is but undivided
ἐν μεμερισμένοις, εἰ δεῖ συντόμως εἰπεῖν, ἡ θεότης·
in divided(-things) if (one)-must concisely to-speak the godhead
καὶ οἷον ἐν ἡλίοις τρισὶν ἐχομένοις ἀλλήλων, μία τοῦ
and as in suns three adjoining one-another one of-the
φωτὸς σύγκρασις. ὅταν μὲν οὖν πρὸς τὴν θεότητα
light blending when indeed then toward the godhead
βλέψωμεν, καὶ τὴν πρώτην αἰτίαν, καὶ τὴν μοναρχίαν, ἓν
we-look and the first cause and the monarchy one
ἡμῖν τὸ φανταζόμενον· ὅταν δὲ πρὸς τὰ ἐν οἷς
to-us the(-thing) imagined when and toward the(-things) in which

ἡ θεότης, καὶ τὰ ἐκ τῆς πρώτης αἰτίας ἀχρόνως
the godhead and the(-things) from the first cause timelessly
ἐκεῖθεν ὄντα καὶ ὁμοδόξως, τρία τὰ προσκυνούμενα.
thence being and equally-glorious three the(-things) worshiped
Τί δέ, οὐχὶ καὶ παρ᾽ Ἕλλησι, φαῖεν ἄν, μία θεότης,
what and not also among Greeks would-they-say — one godhead
ὡς οἱ τὰ τελεώτερα παρ᾽ ἐκείνοις φιλοσοφοῦντες, καὶ
as those the more-perfect(-things) among them philosophizing and
παρ᾽ ἡμῖν ἀνθρωπότης μία, τὸ γένος ἅπαν; ἀλλ᾽ ὅμως
among us humanity one the race whole but nevertheless
πολλοὶ θεοί, καὶ οὐχ εἷς, ὡς δὲ καὶ ἄνθρωποι; ἀλλ᾽
many gods and not one as and also men but
ἐκεῖ μὲν ἡ κοινότης τὸ ἓν ἔχει μόνον ἐπινοίᾳ θεωρητόν·
there indeed the commonness the one has only by-thought contemplated
τὰ δὲ καθ᾽ ἕκαστον πλεῖστον ἀλλήλων καὶ τῷ
the(-things) but in each very-much from-one-another both by-the
χρόνῳ καὶ τοῖς πάθεσι καὶ τῇ δυνάμει μεμερισμένα.
time and by-the passions and by-the power divided
ἡμεῖς τε γὰρ οὐ σύνθετοι μόνον, ἀλλὰ καὶ ἀντίθετοι καὶ
we both for not composite only but also opposed both
ἀλλήλοις καὶ ἡμῖν αὐτοῖς, οὐδὲ ἐπὶ μιᾶς ἡμέρας οἱ αὐτοὶ
to-one-another and to-us selves not-even for one day the same
καθαρῶς μένοντες, μὴ ὅτι τὸν ἅπαντα βίον, ἀλλὰ καὶ
purely remaining not that the whole life but also
σώμασι καὶ ψυχαῖς ἀεὶ ῥέοντές τε καὶ μεταπίπτοντες.
in-bodies and in-souls always flowing both and changing
οὐκ οἶδα δέ, εἰ μὴ καὶ ἄγγελοι καὶ πᾶσα φύσις ἡ
not I-know but whether not also angels and all nature the
ἄνω μετὰ τὴν τριάδα, κἂν ἁπλοῖ τινὲς ὦσι, καὶ προς
above after the trinity even-if simple some are and toward
τὸ καλὸν παγιώτεροι τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι.
the beautiful more-fixed by-the toward the highest beautiful nearness

Οἵ τε παρ᾽ Ἑλλήνων σεβόμενοι θεοί τε καὶ δαίμονες, ὡς 16
the(-ones) and by Greeks revered gods both and demons as
αὐτοὶ λέγουσιν, οὐδὲν ἡμῶν δέονται κατηγόρων, ἀλλὰ
they-themselves say in-nothing of-us need accusers but
τοῖς σφῶν αὐτῶν ἁλίσκονται θεολόγοις, ὡς μὲν ἐμπαθεῖς,
by-the their own are-convicted theologians as indeed passionate
ὡς δὲ στασιώδεις, ὅσων δὲ κακῶν γέμοντες καὶ
as and seditious of-how-many and of-evils full and
μεταβολῶν, καὶ οὐ πρὸς ἀλλήλους μόνον ἀλλὰ καὶ πρὸς τὰς
changes and not toward one-another only but also toward the
πρώτας αἰτίας ἀντιθέτως ἔχοντες, οὓς δὴ Ὠκεανούς, καὶ
first causes oppositely being whom indeed Oceans and
Τηθύας, καὶ Φάνητας, καὶ οὐκ οἶδα οὕς τινας ὀνομάζουσι·
Tethyses and Phaneses and not I-know whom some they-name
καὶ τελευταῖόν τινα θεὸν μισότεκνον διὰ φιλαρχίαν,
and last some god child-hating because-of love-of-rule
πάντας καταπίνοντα τοὺς ἄλλους ἐξ ἁπληστίας, ἵνα
all swallowing the others out-of greed that
γένηται πάντων ἀνδρῶν τε θεῶν τε πατήρ, δυστυχῶς
he-may-become of-all men both of-gods and father wretchedly
ἐσθιομένων καὶ ἐμουμένων. εἰ δὲ ταῦτα μῦθοι καὶ ὑπόνοιαί
being-eaten and vomited if but these(-things) myths and allegories
τινες, ὡς αὐτοί φασι, τὸ αἰσχρὸν τοῦ λόγου διαδιδράσκοντες,
some as they say the shameful of-the account escaping
τί φήσουσι πρὸς τό, Τριχθὰ δὲ πάντα δέδασται, καὶ τὸ
what will-they-say to the three-ways and all(-things) have-been-divided and the
ἄλλον ἄλλῳ τινὶ τῶν ὄντων ἐπιστατεῖν, διῃρημένους καὶ
another over-another some of-the beings to-preside divided both
ταῖς ὕλαις καὶ τοῖς ἀξιώμασι; τὸ δὲ ἡμέτερον οὐ τοιοῦτον·
by-the materials and by-the dignities the but ours not such
οὐδὲ αὕτη μερὶς τῷ Ἰακώβ, φησιν ὁ ἐμὸς θεολόγος· ἀλλὰ
not this portion — to-Jacob says the my theologian but

τὸ ἓν ἕκαστον αὐτῶν ἔχει πρὸς τὸ συγκείμενον οὐχ ἧττον
the one each of-them has toward the composite not less
ἢ πρὸς ἑαυτό, τῷ ταὐτῷ τῆς οὐσίας καὶ τῆς δυνάμεως.
than toward itself by-the sameness of-the substance and of-the power
καὶ οὗτος ὁ τῆς ἑνώσεως λόγος, ὅσον ἐφ' οἷς ἡμεῖς
and this the of-the union account as-far-as in what we
κατειλήφαμεν. εἰ μὲν οὖν οὗτος ἰσχυρὸς ὁ λόγος, τῷ θεῷ
have-comprehended if indeed then this strong the argument — to-God
χάρις τῆς θεωρίας· εἰ δὲ μή, ζητῶμεν τὸν ἰσχυρότερον.
thanks for-the contemplation if but not let-us-seek the stronger
17 Τοὺς δὲ σοὺς λόγους οὐκ οἶδα πότερον παίζοντος εἶναι
but nevertheless the best of-the goods the truth and
ὁ ἔσχατος ὅρος τῆς πονηρίας, τὸ ψεῦδος, τοῖς μικροῖς
the last limit of-the wickedness the falsehood in-the small
τούτοις ῥήμασι πολλάκις ἐμπεριέχεται. καὶ τί ταῦτα
these words often is-contained and why these(-things)
λέγω; ἤδη τις καὶ μόνον κατανεύσας τῇ κεφαλῇ ἐν
do-I-say already someone even only having-nodded with-the head in
τοῖς ὑπὲρ Χριστοῦ μαρτυρίοις πάσης πληρωτὴς εὐσεβείας
the for Christ testimonies of-all fulfiller of-piety
ἐκρίθη. εἰ δὲ ταῦτα οὕτως ἔχει, τί τῶν θεολογικῶν
was-judged if but these(-things) thus are what of-the theological
ῥημάτων οὕτω μικρόν, ὡς ἢ καλῶς ἢ ἐναντίως ἔχον μὴ
words so small as either well or contrarily being not
μεγάλην παρέχειν τὴν ῥοπὴν ἐφ᾽ ἑκάτερα; εἰ γὰρ ‘ἐκ τοῦ
great to-furnish the weight to either(-side) if for from the
νόμου ἰῶτα ἓν ἢ μία κεραία οὐ παρελεύσεται,’ πῶς ἂν ἡμῖν
law iota one or one tittle not will-pass-away how — for-us
ἀσφαλὲς ὑπερβαίνειν καὶ τὰ σμικρότατα; ἅ γε μὴν
safe to-overstep even the smallest(-things) which at-least indeed
αὐτὸς διευκρινηθῆναι παρ᾽ ἡμῶν ἐπεζήτησας, καὶ βραχέα
you-yourself to-be-sifted by us sought and short
ἐστὶ ταῦτα καὶ μεγάλα, τῷ μὲν συντόμῳ τῆς προφορᾶς
are these(-things) and great by-the indeed brevity of-the utterance
βραχέα καὶ διὰ τοῦτο ἴσως εὐκαταφρόνητα, τῇ δὲ
short and because-of this perhaps easily-despised by-the and
δυνάμει τῶν σημαινομένων μεγάλα, κατὰ τὴν
power of-the(-things) signified great according-to the
εἰκόνα τοῦ σινάπεως, ὃ μικρότατον ὂν τῶν φρυγανικῶν
image of-the mustard which smallest being of-the shrubby

σπερμάτων τῆς προσηκούσης ἐπιμελείας ἀξιωθὲν εἰς
seeds of-the fitting care deemed-worthy to
ὕψος αὔταρκες διανίσταται, τῆς συνεσπαρμένης ἐν αὐτῷ
height sufficient rises of-the sown-together in it
δυνάμεως ἁπλωθείσης. εἰ δέ τις γελᾷ, βλέπων τὴν περὶ
power having-been-unfolded if and anyone laughs seeing the about
τὰς συλλαβὰς ἡμῶν (ψαλμικῶς εἰπεῖν) ‘ἀδολεσχίαν,’ αὐτὸς
the syllables our psalm-wise to-say prating he-himself
μὲν ἴστω ἀνωφελῆ καρπὸν τοῦ γελοίου δρεπόμενος,
indeed let-him-know unprofitable fruit of-the laughter plucking
ἡμεῖς δὲ μὴ τοῖς ὀνείδεσι τῶν ἀνθρώπων ἐνδόντες
we but not to-the reproaches of-the men having-yielded
μηδὲ τῷ φαυλισμῷ αὐτῶν ἡττηθέντες τὴν ἔρευναν
nor by-the disparagement their defeated the inquiry
καταλίπωμεν. τοσοῦτον γὰρ ἀπέχω τούτοις ὡς μικροῖς
let-us-abandon so-far for I-am-from these(-things) as small
ἐπαισχύνεσθαι, ὥστε εἰ καὶ πολλοστοῦ μέρους τῆς ἀξίας
to-be-ashamed-of that if even of-(a)-very-small part of-the worth
αὐτῶν ἐφικοίμην, ἐμαυτῷ τε ἂν συνησθείην ὡς μεγάλων
their I-should-attain for-myself both — I-would-rejoice as of-great(-things)
ἀξιωθέντι, τῷ τε συνδιερευνῶντι ἡμῖν ἀδελφῷ οὐ μικρὸν
deemed-worthy for-the and inquiring-with us brother not small
ἂν φαίην ἐντεῦθεν ἀπηντηκέναι τὸ κέρδος. μέγιστον
— I-would-say from-this to-have-come the gain greatest
οὖν ὁρῶν ἐν μικροῖς ῥήμασι τὸ ἀγώνισμα ἐλπίδι τῶν
then seeing in small words the contest in-hope of-the
μισθῶν τὸν πόνον οὐκ ἀναδύομαι, ἐμαυτῷ τε ἡγούμενος
rewards the toil not I-shrink-from for-myself both thinking
ἔγκαρπον τὸν λόγον ἔσεσθαι, τοῖς τε ἀκούουσι διαρκῆ
fruitful the discourse to-be for-the and hearing lasting
τὴν ὠφέλειαν ὑπάρξειν. διόπερ ἤδη σὺν αὐτῷ γε φάναι
the benefit to-be wherefore now with very at-least to-say

τῷ ἁγίῳ Πνεύματι βαδιοῦμαι πρὸς τὴν ἐξήγησιν. καὶ εἰ
the holy Spirit I-shall-proceed to the exposition and if
βούλει ὥστε με εἰς ὁδὸν καταστῆναι τοῦ λόγου, μικρὸν
you-wish so-that me on (the)-road to-be-set of-the discourse a-little
ἐπὶ τὴν ἀρχὴν τοῦ προβλήματος ὑποστρέψω.
to the beginning of-the problem I-shall-return
Προσευχομένῳ μοι πρώην μετὰ τοῦ λαοῦ καὶ ἀμφοτέρως
praying to-me lately with the people and in-both-ways
τὴν δοξολογίαν ἀποπληροῦντι τῷ Θεῷ καὶ Πατρί, νῦν
the doxology completing — to-God and Father now
μὲν ‘Μετὰ τοῦ Υἱοῦ Σὺν τῷ Πνεύματι τῷ ἁγίῳ,’ νῦν δὲ
indeed with the Son with the Spirit the holy now and
‘Διὰ τοῦ Υἱοῦ Ἐν τῷ ἁγίῳ Πνεύματι,’ ἐπέσκηψάν τινες
through the Son in the holy Spirit charged some
τῶν παρόντων, ξενιζούσαις ἡμᾶς φωναῖς κεχρῆσθαι
of-the(-ones) present strange us expressions to-have-used
λέγοντες καὶ ἅμα πρὸς ἀλλήλας ὑπεναντίως ἐχούσαις. σὺ
saying and at-once with one-another contrarily being you
δὲ μάλιστα μὲν τῆς αὐτῶν ἐκείνων ἕνεκεν ὠφελείας,
and especially indeed of-the very of-those for-the-sake-of benefit
εἰ δὲ ἀνιάτως ἔχουσι παντελῶς, διὰ τὸ τῶν
if but incurably they-are altogether because-of the of-the(-ones)
ἐντυγχανόντων αὐτοῖς ἀσφαλές, ἠξίωσάς τινα εὐκρινῆ
meeting them safety you-requested some distinct
περὶ τῆς ἐν ταῖς συλλαβαῖς ταύταις δυνάμεως διδασκαλίαν
about the in the syllables these power teaching
ἐκφωνηθῆναι. λεκτέον δὴ οὖν ἡμῖν διὰ βραχέων, ὡς
to-be-uttered must-be-said indeed then by-us through brief(-words) as
οἷόν τε ἀρχήν τινα ὁμολογουμένην τῷ λόγῳ δόντας.
possible — beginning some agreed to-the discourse having-given

Ἡ περὶ τὰς συλλαβὰς καὶ τὰς λέξεις τῶν ἀνδρῶν τούτων 2
the about the syllables and the words of-the men these
μικρολογία οὐχ ἁπλῆ τίς ἐστιν, ὡς ἄν τῳ δόξαι,
pettiness not simple some is as — to-anyone it-might-seem
οὐδὲ εἰς μικρὸν τοῦ κακοῦ φέρουσα, ἀλλὰ βαθεῖαν
nor to small(-degree) of-the evil tending but deep
ἔχει καὶ συνεσκιασμένην βουλὴν κατὰ τῆς εὐσεβείας.
has and shadowed purpose against the piety
φιλονεικοῦσι γὰρ ἀνομοίαν Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου
they-strive for unlike of-Father and of-Son and of-holy
Πνεύματος ἐπιδεικνύναι τὴν προφοράν, ὡς ἐκ τούτου
Spirit to-show the utterance as from this
ῥᾳδίαν ἕξοντες καὶ τῆς κατὰ τὴν φύσιν παραλλαγῆς
easy going-to-have also of-the according-to the nature variation
τὴν ἀπόδειξιν. ἔστι γάρ τι αὐτοῖς παλαιὸν σόφισμα, ὑπὸ
the proof there-is for some for-them old sophism by
Ἀετίου τοῦ προστάτου τῆς αἱρέσεως ταύτης ἐξευρεθέν,
Aetius the champion of-the heresy this found-out
ὃς ἔγραψέ που τῶν ἑαυτοῦ ἐπιστολῶν, λέγων ‘Τὰ
who wrote somewhere of-the his-own letters saying the(-things)
ἀνόμοια κατὰ τὴν φύσιν ἀνομοίως προφέρεσθαι,’ καὶ
unlike according-to the nature unlike-ly to-be-uttered and
ἀνάπαλιν ‘Τὰ ἀνομοίως προφερόμενα ἀνόμοια εἶναι
conversely the(-things) unlike-ly uttered unlike to-be
κατὰ τὴν φύσιν,’ καὶ εἰς μαρτυρίαν τοῦ λόγου τὸν
according-to the nature and for testimony of-the argument the
ἀπόστολον ἐπεσπάσατο λέγοντα· ‘Εἷς Θεὸς καὶ Πατήρ, ἐξ
apostle he-drew-in saying one God and Father from
οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός, δι’ οὗ
whom the all(-things) and one Lord Jesus Christ through whom
τὰ πάντα.’ ‘ὡς οὖν ἔχουσιν αἱ φωναὶ πρὸς ἀλλήλας, οὕτως
the all(-things) as then are the expressions toward one-another so

ἔξουσι,' φησί, 'καὶ αἱ δι' αὐτῶν σημαινόμεναι φύσεις·
will-be he-says also the through them signified natures
ἀνόμοιον δὲ τῷ "ἐξ οὗ" τὸ "δι' οὗ"· ἀνόμοιος ἄρα καὶ
unlike and to-the from which the through which unlike after-all also
τῷ Πατρὶ ὁ Υἱός.' ταύτης τοίνυν τῆς νόσου καὶ ἡ περὶ
to-the Father the Son of-this therefore the disease also the about
τὰς προκειμένας λέξεις ἀδολεσχία τῶν ἀνδρῶν τούτων
the proposed words prating of-the men these
ἤρτηται. ὅθεν τῷ μὲν Θεῷ καὶ Πατρὶ ὥσπερ τινὰ κλῆρον
depends whence — indeed to-God and Father as some lot
ἐξαίρετον προσνέμουσι τὸ 'ἐξ οὗ,' τῷ δὲ Υἱῷ καὶ Θεῷ
special they-assign the from which to-the and Son and God
ἀφώρισαν τὸ 'δι' οὗ,' τῷ δὲ ἁγίῳ Πνεύματι τὸ 'ἐν
they-have-set-apart the through which to-the and holy Spirit the in
ᾧ,' καί φασι μηδέποτε τὴν χρῆσιν ταύτην τῶν συλλαβῶν
which and they-say never the use this of-the syllables
ἐπαμείβεσθαι, ἵν' ὅπερ ἔφην τῷ παρηλλαγμένῳ τῆς
to-be-interchanged that what I-said by-the varied of-the
ἐκφωνήσεως καὶ ἡ τῆς φύσεως παραλλαγὴ συνεκφαίνηται.
utterance also the of-the nature variation may-be-shown-forth
ἀλλὰ γὰρ οὐ λελήθασιν ἐν τῇ περὶ τὰς λέξεις
but for not they-have-escaped-notice in the about the words
λεπτολογίᾳ τῷ ἀσεβεῖ λόγῳ τὴν ἰσχὺν διασώζοντες. τὸ
subtlety for-the impious argument the strength preserving the
μὲν γὰρ 'ἐξ οὗ' τὸν Δημιουργὸν σημαίνειν βούλονται, τὸ
indeed for from which the Creator to-signify they-wish the
δὲ 'δι' οὗ' τὸν ὑπουργὸν ἢ τὸ ὄργανον, τὸ δὲ 'ἐν ᾧ' τὸν
and through which the subordinate or the instrument the and in which the
χρόνον δηλοῦν ἢ τὸν τόπον, ἵνα μηδὲν μὲν ὀργάνου
time to-show or the place that nothing indeed than-an-instrument
σεμνότερος ὁ Δημιουργὸς τῶν ὅλων νοῆται, μηδὲν
more-august the Creator of-the whole(-world) may-be-thought nothing

δὲ τῆς ἀπὸ τόπου ἢ χρόνου συνεισφορᾶς εἰς τὰ ὄντα
and than-the from place or time contribution to the beings
πλεῖον φαίνηται τὸ Πνεῦμα τὸ ἅγιον παρεχόμενον.
more may-appear the Spirit the holy furnishing
Ὑπηγάγετο μέντοι αὐτοὺς πρὸς τὴν ἀπάτην ταύτην καὶ ἡ 3
led-on however them to the deceit this also the
τῶν ἔξωθεν παρατήρησις, οἳ τὸ ‘ἐξ οὗ’ καὶ τὸ ‘δι’ οὗ’
of-the outside(-ones) observation who the from which and the through which
κεχωρισμένοις κατὰ τὴν φύσιν πράγμασι προσδιένειμαν.
to-separated according-to the nature things assigned
ἐκεῖνοι γὰρ οἴονται τὸ μὲν ‘ἐξ οὗ’ τὴν ὕλην δηλοῦν, τὸ
those for think the indeed from which the matter to-show the
δὲ ‘δι’ οὗ’ τὸ ὄργανον παριστᾷν ἢ ὅλως τὴν ὑπουργίαν.
and through which the instrument to-present or in-short the subservience
μᾶλλον δὲ (τί γὰρ κωλύει πάντα τὸν ἐκείνων λόγον
rather and what for hinders all the their argument
ἀναλαβόντας τό τε πρὸς τὴν ἀλήθειαν ἀσυνάρτητον καὶ
having-taken-up the both toward the truth incoherent and
τὸ πρὸς ἐκείνους αὐτοὺς ἀσύμφωνον τῶν ἀνδρῶν τούτων
the toward those themselves discordant of-the men these
ἐν βραχεῖ διελέγξαι;) οἱ περὶ τὴν ματαίαν φιλοσοφίαν
in brief to-refute the(-ones) about the vain philosophy
ἐσχολακότες τοῦ αἰτίου τὴν φύσιν πολλαχῶς ἐξηγούμενοι
having-spent-leisure of-the cause the nature in-many-ways explaining
καὶ τοῦτο εἰς τὰ οἰκεῖα σημαινόμενα διαιροῦντες τὰ μὲν
and this into the proper meanings dividing some indeed
προκαταρκτικὰ λέγουσι τῶν αἰτίων, τὰ δὲ συνεργὰ ἢ
preliminary they-call of-the causes others and cooperating or
συναίτια, τὰ δὲ τῶν ὧν οὐκ ἄνευ λόγον ἐπέχειν.
joint-causes others and of-the which not without (the)-place to-hold
ἑκάστῳ μέντοι τούτων ἰδιάζουσαν καὶ τὴν ἐκφώνησιν
to-each however of-these peculiar also the utterance

ἀφορίζουσιν, ὥστε ἄλλως τὸν Δημιουργὸν σημαίνεσθαι καὶ
they-assign so-that otherwise the Creator to-be-signified and
τὸ ὄργανον ἄλλως. τῷ μὲν γὰρ Δημιουργῷ πρέπειν
the instrument otherwise to-the indeed for Creator to-befit
οἴονται τὸ ‘ὑφ’ οὗ,’ κυρίως γάρ φασι λέγεσθαι ὑπὸ τοῦ
they-think the by which properly for they-say to-be-said by the
τέκτονος γεγενῆσθαι τὸ βάθρον, τῷ δὲ ὀργάνῳ τὸ
carpenter to-have-been-made the bench to-the and instrument the
‘δι’ οὗ,’ διὰ γὰρ σκεπάρνου φασὶ καὶ τερέτρου καὶ
through which through for (an)-adze they-say and (an)-auger and
τῶν λοιπῶν. ὁμοίως δὲ καὶ τὸ ‘ἐξ οὗ’ τῆς ὕλης ἴδιον
the rest likewise and also the from which of-the matter proper
ἐκεῖνοι τίθενται, ἐκ ξύλου γὰρ εἶναι τὸ δημιούργημα,
those lay-down from wood for to-be the work
τὸ δὲ ‘καθ’ ὅ’ τὸ ἐνθύμιον δηλοῦν ἢ τὸ ἐκκείμενον
the and according-to which the conception to-show or the set-out
ὑπόδειγμα τῷ τεχνίτῃ. ἢ γὰρ προαναζωγραφήσας τῇ
pattern for-the craftsman either for having-first-sketched in-the
διανοίᾳ τὸ κατασκεύασμα οὕτως εἰς ἔργον τὴν φαντασίαν
mind the construction thus into work the image
ἤγαγεν, ἢ πρὸς ἤδη ἐκκείμενον παράδειγμα ἀποβλέπων
he-brought or toward already set-out (a)-model looking
καθ’ ὁμοίωσιν ἐκείνου τὴν ἐνέργειαν κατευθύνει. τὸ δὲ
according-to likeness of-that the activity he-directs the and
‘δι’ ὅ’ τῷ τέλει προσήκειν βούλονται, διὰ γὰρ τὴν
because-of which to-the end to-belong they-wish because-of for the
χρῆσιν τὴν τῶν ἀνθρώπων γεγονέναι τὸ βάθρον, τὸ
use the of-the men to-have-been-made the bench the
δὲ ‘ἐν ᾧ’ τὸν χρόνον παριστᾷν ἢ τὸν τόπον. πότε γὰρ
and in which the time to-present or the place when for
γέγονεν; ἐν τῷδε τῷ χρόνῳ. καὶ ποῦ; ἐν τῷδε τῷ τόπῳ.
was-it-made in this the time and where in this the place

ταῦτα δὲ εἰ καὶ μηδὲν τῷ γινομένῳ συμβάλλεται,
these(-things) and if even nothing to-the(-thing) being-made contribute
ἀλλ᾽ οὖν οὐκ ἄνευ τούτων δυνατόν τι γενέσθαι· χρεία
but then not without these possible anything to-come-to-be need
γὰρ καὶ τόπου καὶ χρόνου τοῖς ἐνεργοῦσι. ταῦτα
for both of-place and of-time for-the(-ones) acting these(-things)
μαθόντες καὶ θαυμάσαντες οὗτοι τὰ ἐκ τῆς ματαιότητος
having-learned and having-admired these the from the vanity
καὶ κενῆς ἀπάτης παρατηρήματα καὶ ἐπὶ τὴν ἁπλῆν καὶ
and empty deceit observations even to the simple and
ἀτεχνολόγητον τοῦ Πνεύματος διδασκαλίαν μετακομίζουσιν,
unartful of-the Spirit teaching they-transfer
εἰς ἐλάττωσιν μὲν τοῦ Θεοῦ Λόγου, ἀθέτησιν δὲ τοῦ
for diminution indeed of-the God Word setting-aside and of-the
Θείου Πνεύματος, οἵ γε τὴν ἐπὶ ἀψύχων ὀργάνων ἢ
Divine Spirit who at-least the for lifeless instruments or
τῆς ὑποχειρίου καὶ ταπεινῆς παντελῶς ὑπηρεσίας φωνὴν
of-the subject and lowly altogether service word
ἀφωρισμένην παρὰ τῶν ἔξωθεν, τὴν ‘δι᾽ οὗ’ λέγω,
set-apart by the outside(-ones) the through which I-mean
ταύτην ἐπὶ τὸν Δεσπότην τῶν ὅλων οὐκ ὤκνησαν
this(-one) to the Master of-the whole(-world) not hesitated
μεταθεῖναι, καὶ οὐκ αἰσχύνονται οἱ Χριστιανοὶ πρίονος ἢ
to-transfer and not are-ashamed the Christians of-(a)-saw or
σφύρας τῷ Δημιουργῷ τῆς κτίσεως φωνὴν ἀφορίζοντες.
hammer to-the Creator of-the creation (the)-word assigning
Ἡμεῖς δὲ κεχρῆσθαι μὲν πολλαχοῦ ταῖς φωναῖς ταύταις 4
we but to-use indeed in-many-places the expressions these
καὶ τὸν τῆς ἀληθείας λόγον ὁμολογοῦμεν· οὐ μὴν
also the of-the truth word we-confess not however
τήν γε τοῦ Πνεύματος ἐλευθερίαν δουλεύειν πάντως
the at-least of-the Spirit freedom to-be-slave by-all-means

φαμὲν τῇ μικροπρεπείᾳ τῶν ἔξωθεν, ἀλλὰ κατὰ τὸ
we-say to-the pettiness of-the outside(-ones) but according-to the
ἀεὶ προστυγχάνον οἰκείως ταῖς χρείαις ὑπαλλάττειν τὰς
always occurring fittingly to-the needs to-vary the
ἐκφωνήσεις. οὐ γὰρ πάντως τὸ ‘ἐξ οὗ’ τὴν ὕλην σημαίνει,
utterances not for altogether the from which the matter signifies
καθὼς ἐκείνοις δοκεῖ, ἀλλὰ συνηθέστερον τῇ Γραφῇ ἐπὶ
as to-those it-seems but more-customarily for-the Scripture for
τῆς ἀνωτάτω Αἰτίας τὴν φωνὴν ταύτην παραλαμβάνειν,
the highest Cause the expression this to-take
ὡς ἐπὶ τοῦ ‘Εἷς Θεός, ἐξ οὗ τὰ πάντα,’ καὶ
as in-the-case-of the one God from whom the all(-things) and
πάλιν· ‘τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.’ κέχρηται μέντοι καὶ
again the and all(-things) from — God uses however also
ὁ τῆς ἀληθείας λόγος τῇ λέξει ταύτῃ καὶ ἐπὶ τῆς ὕλης
the of-the truth word the word this also for the matter
πολλάκις, ὡς ὅταν λέγῃ· ‘ποιήσεις τὴν κιβωτὸν ἐκ ξύλων
often as when it-says you-shall-make the ark from timbers
ἀσήπτων,’ καὶ ‘ποιήσεις τὴν λυχνίαν ἐκ χρυσίου καθαροῦ,’
rotless and you-shall-make the lampstand from gold pure
καὶ ‘ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκός,’ καὶ ‘ἐκ πηλοῦ
and the first man from earth earthy and from clay
διήρτισαι σὺ ὡς καὶ ἐγώ.’ ἀλλ’ οὗτοι, ἵνα ὡς ἔφαμεν
you-have-been-formed you as also I but these that as we-said
τῆς φύσεως τὸ διάφορον παραστήσωσι, τῷ Πατρὶ μόνῳ
of-the nature the difference they-may-present to-the Father alone
προσήκειν τὴν λέξιν ταύτην ἐνομοθέτησαν, τὰς μὲν ἀρχὰς
to-belong the word this legislated the indeed beginnings
τῆς παρατηρήσεως λαβόντες παρὰ τῶν ἔξωθεν, οὐ
of-the observation having-taken from the outside(-ones) not
πάντα δὲ ἐκείνοις δι’ ἀκριβείας δουλεύσαντες· ἀλλὰ τῷ
all(-things) and to-those through exactness having-served but to-the

μὲν Υἱῷ κατὰ τὴν ἐκείνων νομοθεσίαν τὴν τοῦ ὀργάνου
indeed Son according-to the their legislation the of-the instrument
προσηγορίαν ἐπέθηκαν, τῷ δὲ Πνεύματι τὴν τοῦ
name they-applied to-the and Spirit the(-name) of-the
τόπου, ‘ἐν Πνεύματι’ γὰρ λέγουσι καὶ ‘διὰ Υἱοῦ’ λέγουσι,
place in Spirit for they-say and through Son they-say
τῷ δὲ Θεῷ τὴν ‘ἐξ οὗ,’ οὐκέτι ἐνταῦθα κατακολουθοῦντες
— and to-God the from which no-longer here following
τοῖς ἀλλοτρίοις, ἀλλ’ ἐπὶ τὰς ἀποστολικὰς ὥς φασι
the strangers but to the apostolic as they-say
μεταβαίνοντες χρήσεις, καθὰ εἴρηται· ‘ἐξ αὐτοῦ δὲ ὑμεῖς
passing-over usages as it-has-been-said from him and you
ἐστε ἐν Χριστῷ Ἰησοῦ,’ καὶ ‘τὰ δὲ πάντα ἐκ τοῦ Θεοῦ.’
are in Christ Jesus and the too all(-things) from — God
τί οὖν ἐκ τῆς τεχνολογίας ταύτης τὸ συναγόμενον;
what then from the technical-reasoning this the conclusion
‘ἄλλη φύσις αἰτίου καὶ ἄλλη ὀργάνου καὶ ἄλλη τόπου·
another nature of-cause and another of-instrument and another of-place
ἀλλότριος ἄρα κατὰ τὴν φύσιν ὁ Υἱὸς τῷ Πατρί,
alien after-all according-to the nature the Son to-the Father
ἐπειδὴ καὶ τὸ ὄργανον τῷ τεχνίτῃ, ἀλλότριον δὲ καὶ τὸ
since also the instrument to-the craftsman (is)-alien and also the
Πνεῦμα, καθόσον κεχώρισται τόπος ἢ χρόνος τῆς τῶν
Spirit inasmuch-as is-separated place or time from-the of-the
ὀργάνων φύσεως ἢ τῆς τῶν μεταχειριζομένων αὐτά.’
instruments nature or from-the of-the handling(-ones) them

Scripture does not keep the opponents' rule. Paul sets "of him," "through him," and "to him" on one subject; Scripture says "of whom" of the Son and the Spirit, "through whom" of the Father, and "in" of the Father, and trades one for another, as in Paul's "born of a woman." The prepositions mark no difference of nature.

5 Τὰ μὲν δὴ ἐκείνων τοιαῦτα· ἡμεῖς δὲ δείξομεν ὃ
the(-things) indeed truly of-those such we but shall-show what
προεθέμεθα, ὅτι οὔτε ὁ Πατὴρ τὸ 'ἐξ οὗ' λαβὼν τῷ
we-proposed that neither the Father the from which having-taken to-the
Υἱῷ προσέρριψε τὸ 'δι' οὗ,' οὔτε ὁ Υἱὸς πάλιν τὸ
Son flung-to the through which nor the Son in-turn the
Πνεῦμα τὸ ἅγιον κατὰ τὴν τούτων νομοθεσίαν εἰς τὴν
Spirit the holy according-to the their legislation into the
τοῦ 'ἐξ οὗ' ἢ τὴν 'δι' οὗ' κοινωνίαν οὐ παραδέχεται,
of-the from which or the through which fellowship not admits
ὅπερ ἡ καινὴ τούτων κληροδοσία διώρισεν. Εἷς Θεὸς καὶ
which the new their allotment determined one God and
Πατήρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστός,
Father from whom the all(-things) and one Lord Jesus Christ
δι' οὗ τὰ πάντα.' αὗται οὐκ εἰσὶ νομοθετοῦντος φωναί,
through whom the all(-things) these not are of-(one)-legislating expressions
ἀλλὰ διευκρινουμένου τὰς Ὑποστάσεις. οὐ γὰρ ἵνα τὸ
but of-(one)-distinguishing the Hypostases not for that the
ἀλλότριον τῆς φύσεως εἰσαγάγῃ, ἀλλ' ἵνα ἀσύγχυτον
alienation of-the nature he-might-introduce but that unconfused
Πατρὸς καὶ Υἱοῦ τὴν ἔννοιαν παραστήσῃ, οὕτω προήνεγκεν
of-Father and of-Son the conception he-might-present thus put-forward
ὁ Ἀπόστολος. ἐπεὶ ὅτι γε αἱ φωναὶ ἀλλήλαις οὐκ
the Apostle since that at-least the expressions to-one-another not

ἀντιτάσσονται, οὐδ' ὥσπερ ἐν πολέμῳ πρὸς ἀντίπαλον
are-opposed nor as in war against (an)-opposing
τάξιν ἀποκριθεῖσαι συνεκπολεμοῦσι τὰς φύσεις, αἷς
rank separated embroil-in-war the natures to-which
προσεχώρησαν, ἐκεῖθεν δῆλον· συνήγαγεν ἀμφοτέρας ἐπὶ
they-attached thence (is)-plain brought-together both upon
ἑνὸς καὶ τοῦ αὐτοῦ ὑποκειμένου ὁ μακάριος Παῦλος, εἰπών·
one and the same subject the blessed Paul saying
ὅτι 'ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα.'
that from him and through him and into him the all(-things)
τοῦτο δὲ προδήλως εἰς τὸν Κύριον φέρειν πᾶς τις ἂν εἴποι
this and plainly to the Lord to-refer every one — would-say
ὁ καὶ μικρὸν τῷ βουλήματι τῆς λέξεως ἐπιστήσας.
the(-one) even little to-the intention of-the word having-attended
προτάξας γὰρ ὁ Ἀπόστολος ἐκ τῆς προφητείας τοῦ
having-set-before for the Apostle from the prophecy —
Ἡσαΐου τὸ 'τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς σύμβουλος
of-Isaiah the who knew (the)-mind of-(the)-Lord and who counselor
αὐτοῦ ἐγένετο;' ἐπήγαγεν· ὅτι 'ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ
his became he-added that from him and through him
καὶ εἰς αὐτὸν τὰ πάντα.' ἅπερ ὅτι περὶ τοῦ Θεοῦ Λόγου
and into him the all(-things) which that about the God Word
τοῦ Δημιουργοῦ πάσης κτίσεως εἴρηται τῷ προφήτῃ, ἐκ
the Creator of-all creation are-said by-the prophet from
τῶν κατόπιν ἂν μάθοις· 'τίς ἐμέτρησε τῇ χειρὶ
the(-things) following — you-might-learn who measured with-the hand
τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν
the water and the heaven with-(a)-span and all the earth
δρακί; τίς ἔστησε τὰ ὄρη ἐν σταθμῷ καὶ τὰς νάπας
with-(a)-handful who set the mountains in balance and the glens
ἐν ζυγῷ; τίς ἔγνω νοῦν Κυρίου; καὶ τίς σύμβουλος αὐτοῦ
in (a)-scale who knew (the)-mind of-(the)-Lord and who counselor his

ἐγένετο;' τὸ γὰρ 'τίς' ἐνταῦθα οὐχὶ τὸ ἄπορον παντελῶς,
became the for who here not the impossible altogether
ἀλλὰ τὸ σπάνιον δηλοῖ, ὡς ἐπὶ τοῦ 'τίς ἀναστήσεταί
but the rare shows as in the who will-rise-up
μοι ἐπὶ πονηρευομένους;' καὶ 'τίς ἐστιν ἄνθρωπος ὁ
for-me against evildoers and who is (the)-man the(-one)
θέλων ζωήν;' καὶ 'τίς ἀναβήσεται εἰς τὸ ὄρος τοῦ
wishing life and who will-go-up into the mountain of-the
Κυρίου;' οὕτω δὴ οὖν καὶ ἐνταῦθά ἐστι· 'τίς ὁ εἰδὼς
Lord thus indeed then also here is who the(-one) knowing
τὸν νοῦν τοῦ Κυρίου καὶ τῆς βουλῆς αὐτοῦ κοινωνός;' 'ὁ
the mind of-the Lord and of-the counsel his sharer the
γὰρ Πατὴρ ἀγαπᾷ τὸν Υἱὸν καὶ πάντα δείκνυσιν αὐτῷ.'
for Father loves the Son and all(-things) shows him
οὗτός ἐστιν ὁ συνέχων τὴν γῆν καὶ περιδεδραγμένος
this(-one) is the(-one) holding-together the earth and having-grasped
αὐτῆς, ὁ εἰς τάξιν πάντα καὶ διακόσμησιν ἀγαγών,
it the(-one) into order all(-things) and arrangement having-brought
ὁ καὶ ὄρεσιν ἰσορροπίαν καὶ ὕδασι μέτρα καὶ πᾶσι
the(-one) also to-mountains balance and to-waters measures and to-all
τοῖς ἐν τῷ κόσμῳ τὴν οἰκείαν τάξιν ἀποπληρώσας,
the(-things) in the world the own order having-fulfilled
ὁ τὸν οὐρανὸν ὅλον μικρῷ μέρει τῆς ὅλης ἑαυτοῦ
the(-one) the heaven whole with-(a)-small part of-the whole his-own
δυνάμεως περιέχων, ἣν σπιθαμὴν τροπικῶς ὁ προφητικὸς
power encompassing which span figuratively the prophetic
ὠνόμασε λόγος. ὅθεν οἰκείως ἐπήγαγεν ὁ ἀπόστολος τὸ
named word whence fittingly added the apostle the
'ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα.'
from him and through him and into him the all(-things)
'ἐξ αὐτοῦ' γὰρ τοῖς οὖσιν ἡ αἰτία τοῦ εἶναι κατὰ τὸ
from him for to-the beings the cause of-the being according-to the

θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς γίνεται. ‘δι’ αὐτοῦ’ τοῖς
will — of-God and Father comes-about through him to-the
πᾶσιν ἡ διαμονὴ καὶ ἡ σύστασις, τοῦ κτίσαντος τὰ
all the continuance and the constitution of-the(-one) having-created the
πάντα καὶ τὰ πρὸς σωτηρίαν ἑκάστῳ τῶν γενομένων
all(-things) and the(-things) for salvation to-each of-the things-made
ἐπιμετροῦντος. διὸ δὴ καὶ ‘εἰς αὐτὸν’ ἐπέστραπται τὰ
measuring-out wherefore indeed also into him are-turned the
σύμπαντα, ἀσχέτῳ τινὶ πόθῳ καὶ ἀρρήτῳ στοργῇ πρὸς
all(-things) with-unrestrained some longing and unspeakable love toward
τὸν ἀρχηγὸν τῆς ζωῆς καὶ χορηγὸν ἀποβλέποντα, κατὰ
the author of-the life and provider looking according-to
τὸ γεγραμμένον· ‘οἱ ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι,’
the written the eyes of-all on you hope
καὶ πάλιν· ‘πάντα πρὸς σὲ προσδοκῶσι,’ καὶ ‘ἀνοίγεις σὺ
and again all(-things) toward you wait and open you
τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῷον εὐδοκίας.’
the hand your and fill every living-thing with-good-pleasure
Εἰ δὲ πρὸς ταύτην ἡμῶν τὴν ἐκδοχὴν ἐνίστανται, τίς
if but against this our the interpretation they-object what
αὐτοὺς ἐξαιρήσεται λόγος τοῦ μὴ οὐχὶ φανερῶς ἑαυτοῖς
them will-rescue argument from-the not not plainly on-themselves
περιπίπτειν; εἰ γὰρ μὴ ἐπὶ τοῦ Κυρίου δώσουσι τὰς τρεῖς
to-fall if for not of the Lord they-will-grant the three
εἰρῆσθαι φωνάς, τήν τε ‘ἐξ αὐτοῦ’ καὶ ‘δι’ αὐτοῦ’ καὶ
to-have-been-said expressions the both from him and through him and
‘εἰς αὐτόν,’ ἀνάγκη πᾶσα προσοικειοῦν τῷ Θεῷ καὶ Πατρί.
into him necessity all to-appropriate(-them) — to-God and Father
ἐκ δὲ τούτου προδήλως αὐτοῖς διαπεσεῖται τὸ παρατήρημα.
from but this plainly for-them will-collapse the observation
εὑρίσκεται γὰρ οὐ μόνον τὸ ‘ἐξ οὗ,’ ἀλλὰ καὶ τὸ ‘δι’
is-found for not only the from which but also the through

οὗ τῷ Πατρὶ προσαγόμενον. ὅπερ εἰ μὲν οὐδὲν ταπεινὸν
which to-the Father applied which if indeed nothing lowly
ἐμφαίνει, τί δήποτε ὡς ὑποδεέστερον ἀφορίζουσι τῷ Υἱῷ;
shows why ever as inferior do-they-assign(-it) to-the Son
εἰ δὲ πάντως ἐστὶ διακονίας δηλωτικόν, ἀποκρινάσθωσαν
if but by-all-means it-is of-service indicative let-them-answer
ἡμῖν· ὁ Θεὸς τῆς δόξης καὶ Πατὴρ τοῦ Χριστοῦ τίνος ἐστὶν
us — God of-the glory and Father — of-Christ of-what is-he
ἄρχοντος ὑπηρέτης; ἐκεῖνοι μὲν οὖν οὕτως ὑφ' ἑαυτῶν
ruler (the)-servant they indeed then thus by themselves
περιτρέπονται, ἡμῖν δὲ ἑκατέρωθεν τὸ ἰσχυρὸν φυλαχθήσεται.
are-overturned for-us but on-both-sides the strength will-be-guarded
ἐάν τε γὰρ νικήσῃ περὶ τοῦ Υἱοῦ εἶναι τὸν λόγον,
if both for should-prevail about the Son to-be the word
εὑρεθήσεται τὸ 'ἐξ οὗ' τῷ Υἱῷ προσαρμόζον· ἐάν τέ τις
will-be-found the from which to-the Son fitting if and anyone
φιλονεικῇ ἐπὶ τὸν Θεὸν ἀναφέρειν τοῦ προφήτου τὴν λέξιν,
contends to — God to-refer of-the prophet the word
πάλιν τὴν 'δι' οὗ' φωνὴν τῷ Θεῷ πρέπειν δώσει, καὶ
again the through which expression — to-God to-befit he-will-grant and
τὴν ἴσην ἕξει ἀξίαν ἑκατέρα τῷ κατὰ τὸν ἴσον λόγον
the equal will-have worth each by-the according-to the equal reason
ἐπὶ Θεοῦ παρειλῆφθαι. καὶ οὕτω γε κἀκείνως ὁμότιμοι
of God to-have-been-taken and thus at-least and-in-that-way equal-in-honor
ἀλλήλαις ἀναφανήσονται, ἐφ' ἑνὸς Προσώπου καὶ τοῦ
with-one-another will-appear for one Person and the
αὐτοῦ τεταγμέναι. ἀλλ' ἐπὶ τὸ προκείμενον ἐπανέλθωμεν.
same set but to the proposed(-subject) let-us-return
Γράφων ὁ Ἀπόστολος πρὸς Ἐφεσίους φησίν· 'ἀληθεύοντες
writing the Apostle to Ephesians says speaking-truth
δὲ ἐν ἀγάπῃ αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντά, ὅς ἐστιν ἡ
and in love let-us-grow into him the all(-things) who is the

κεφαλή, Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα συναρμολογούμενον
head Christ from whom all the body joined-together
καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας
and knit-together through every joint of-the supply
κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέρους τὴν
according-to working in measure of-one each part the
αὔξησιν τοῦ σώματος ποιεῖται.᾽ καὶ πάλιν ἐν τῇ πρὸς
growth of-the body makes and again in the(-letter) to
Κολασσαεῖς πρὸς τοὺς οὐκ ἔχοντας τὴν γνῶσιν τοῦ
Colossians toward the(-ones) not having the knowledge of-the
Μονογενοῦς εἴρηται, ὅτι ‘ὁ κρατῶν τὴν κεφαλήν, τουτέστι
Only-begotten it-is-said that the(-one) holding the head that-is
τὸν Χριστόν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ
— Christ from whom all the body through the joints and
συνδέσμων ἐπιχορηγούμενον αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ.᾽ ὅτι
bonds supplied grows the growth — of-God that
γὰρ Χριστὸς κεφαλὴ τῆς Ἐκκλησίας ἑτέρωθι μεμαθήκαμεν,
for Christ (is)-head of-the Church elsewhere we-have-learned
τοῦ Ἀποστόλου λέγοντος· καὶ ‘αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ
the Apostle saying and him gave (as)-head over
πάντα τῇ Ἐκκλησίᾳ,᾽ καὶ ‘ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς
all(-things) to-the Church and from the fullness his we
πάντες ἐλάβομεν,᾽ καὶ αὐτὸς ὁ Κύριος· ὅτι ‘ἐκ τοῦ ἐμοῦ
all received and himself the Lord that from the mine
λήψεται καὶ ἀναγγελεῖ ὑμῖν.᾽ καὶ ὅλως τῷ φιλοπόνως
he-will-take and will-announce to-you and in-short to-the(-one) diligently
ἀναλεγομένῳ πολύτροποι αἱ χρήσεις ἀναφανήσονται τοῦ
collecting manifold the uses will-appear of-the
‘ἐξ οὗ.᾽ καὶ γὰρ καὶ ὁ Κύριος· ‘ἔγνων,᾽ φησί, ‘δύναμιν
from which and for also the Lord I-knew he-says power
ἐξελθοῦσαν ἐξ ἐμοῦ.᾽ ὁμοίως δὲ καὶ περὶ τοῦ Πνεύματος
having-gone-out from me likewise and also about the Spirit

τετηρήκαμεν πολλαχοῦ τὸ ‘ἐξ οὗ’ κείμενον. ‘ὁ γὰρ
we-have-observed in-many-places the from which placed the(-one) for
σπείρων,’ φησίν, ‘εἰς τὸ Πνεῦμα ἐκ τοῦ Πνεύματος θερίσει
sowing he-says into the Spirit from the Spirit will-reap
ζωὴν αἰώνιον,’ καὶ ὁ Ἰωάννης· ‘ἐκ τούτου γινώσκομεν ὅτι
life eternal and — John from this we-know that
ἐν ἡμῖν ἐστιν, ἐκ τοῦ Πνεύματος οὗ ἡμῖν ἔδωκε,’ καὶ
in us he-is from the Spirit which to-us he-gave and
ὁ ἄγγελος· ‘τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ Πνεύματός
the angel the(-thing) for in her begotten from Spirit
ἐστιν ἁγίου,’ καὶ ὁ Κύριός φησι· ‘τὸ γεγεννημένον
is holy and the Lord says the(-thing) born
ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστι.’ τοῦτο μὲν δὴ τοιοῦτον.
from the Spirit spirit is this indeed truly such(-it-is)
Ὅτι δὲ τὴν ‘δι’ οὗ’ φωνὴν ὁμοίως ἐπί τε Πατρὸς καὶ Υἱοῦ
that and the through which expression likewise for both Father and Son
καὶ ἁγίου Πνεύματος ἡ Γραφὴ παραδέχεται, ἤδη δεικτέον.
and holy Spirit the Scripture admits now must-be-shown
ἐπὶ μὲν δὴ τοῦ Υἱοῦ παρέλκον ἂν εἴη μαρτυρίας
for indeed truly the Son superfluous — it-would-be testimonies
κομίζειν, διά τε τὸ γνώριμον καὶ διὰ τὸ παρὰ τῶν
to-bring because-of both the familiar and because-of the by the
ἐναντίων αὐτὸ τοῦτο κατασκευάζεσθαι· ἡμεῖς δὲ δείκνυμεν ὅτι
opponents this very to-be-maintained we but show that
καὶ ἐπὶ τοῦ Πατρὸς τὸ ‘δι’ οὗ’ τέτακται. ‘πιστός,’ φησίν, ‘ὁ
also for the Father the through which is-placed faithful he-says —
Θεός, δι’ οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ,’ καὶ
(is)-God through whom you-were-called into fellowship of-the Son his and
‘Παῦλος Ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ,’
Paul (an)-apostle of-Jesus Christ through (the)-will of-God
καὶ πάλιν· ‘ὥστε οὐκέτι εἶ δοῦλος, ἀλλὰ υἱός· εἰ δὲ υἱός,
and again so-that no-longer you-are (a)-slave but (a)-son if and (a)-son

καὶ κληρονόμος διὰ Θεοῦ,' καὶ τὸ 'ὥσπερ ἠγέρθη Χριστὸς
also (an)-heir through God and the as was-raised Christ
ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός.' καὶ ὁ Ἡσαΐας·
from (the)-dead through the glory of-the Father and — Isaiah
'οὐαί,' φησίν, 'οἱ βαθέως βουλὴν ποιοῦντες καὶ οὐ διὰ
woe he-says the(-ones) deeply counsel making and not through
Κυρίου.' πολλὰς δὲ καὶ ἐπὶ τοῦ Πνεύματος τῆς φωνῆς ταύτης
(the)-Lord many and also for the Spirit of-the expression this
μαρτυρίας ἔξεστι παραθέσθαι. 'ἡμῖν δέ,' φησίν, 'ὁ Θεὸς
testimonies it-is-possible to-set-forth to-us and he-says — God
ἀπεκάλυψε διὰ τοῦ Πνεύματος,' καὶ ἑτέρωθι· 'τὴν καλὴν
revealed through the Spirit and elsewhere the good
παραθήκην φύλαξον διὰ Πνεύματος ἁγίου,' καὶ πάλιν·
deposit guard through Spirit holy and again
'ᾧ μὲν γὰρ διὰ τοῦ Πνεύματος δίδοται λόγος σοφίας.'
to-whom indeed for through the Spirit is-given (a)-word of-wisdom
Τὰ αὐτὰ δὲ ταῦτα καὶ περὶ τῆς 'ἐν' συλλαβῆς εἰπεῖν
the same and these(-things) also about the in syllable to-say
ἔχομεν, ὅτι καὶ ἐπὶ τοῦ Θεοῦ καὶ Πατρὸς τὴν χρῆσιν
we-have that also for — God and Father the use
αὐτῆς ἡ Γραφὴ παραδέδεκται, ὡς ἐπὶ μὲν Παλαιᾶς·
of-it the Scripture has-admitted as in indeed (the)-Old
'ἐν τῷ Θεῷ,' φησί, 'ποιήσωμεν δύναμιν,' καὶ 'ἐν σοὶ ἡ
in — God he-says let-us-do power and in you the
ὕμνησις μου διαπαντός,' καὶ πάλιν· 'ἐν τῷ ὀνόματί σου
hymning my always and again in the name your
ἀγαλλιάσομαι·' παρὰ δὲ Παύλῳ· 'ἐν τῷ Θεῷ,' φησί, 'τῷ
I-shall-exult with and Paul in — God he-says the(-one)
τὰ πάντα κτίσαντι,' καὶ 'Παῦλος καὶ Σιλουανὸς καὶ
the all(-things) having-created and Paul and Silvanus and
Τιμόθεος τῇ ἐκκλησίᾳ Θεσσαλονικέων ἐν Θεῷ Πατρί,'
Timothy to-the church of-Thessalonians in God (the)-Father

καὶ ‘εἰ δήποτε εὐοδωθήσομαι ἐν τῷ θελήματι τοῦ Θεοῦ
and if somehow I-shall-be-prospered in the will — of-God
ἐλθεῖν πρὸς ὑμᾶς,’ καὶ ‘καυχᾶσαι,’ φησίν, ‘ἐν Θεῷ,’ καὶ
to-come to you and you-boast he-says in God and
ὅσα οὐδὲ ἀριθμῆσαι ῥᾴδιον. ἔστι δὲ ἡμῖν οὐ πλήθους
as-many-as not-even to-count (is)-easy it-is but for-us not of-(a)-multitude
μαρτυριῶν ἐπίδειξις, ἀλλ’ ἔλεγχος τοῦ μὴ ὑγιῶς αὐτοῖς
of-testimonies display but (a)-refutation of-the not soundly for-them
τὰς παρατηρήσεις ἔχειν. τὸ γὰρ περὶ τοῦ Κυρίου ἢ περὶ
the observations to-hold the for about the Lord or about
τοῦ ἁγίου Πνεύματος παρειλημμένην τὴν χρῆσιν ταύτην
the holy Spirit taken the use this
ἐπιδεικνύναι ὡς γνώριμον ὑπερβήσομαι. ἐκεῖνο δὲ ἀναγκαῖον
to-show as familiar I-shall-pass-over that but necessary
εἰπεῖν, ὅτι συνετῷ ἀκροατῇ ἱκανὸς ἔλεγχος τῶν
to-say that to-(an)-intelligent hearer sufficient (the)-refutation of-the(-things)
προταθέντων ὁ ἀπὸ τοῦ ἐναντίου. εἰ γὰρ τὸ διάφορον
proposed the(-one) from the contrary if for the difference
τῆς ἐκφωνήσεως παρηλλαγμένην ἐδείκνυ τὴν φύσιν κατὰ
of-the utterance varied showed the nature according-to
τὸν τούτων λόγον, ἡ τῶν φωνῶν ταυτότης ἀπαράλλακτον
the their argument the of-the expressions identity unvaried
νῦν τὴν οὐσίαν αὐτοὺς ὁμολογεῖν δυσωπείτω.
now the substance them to-confess let-it-shame
Οὐ μόνον δὲ ἐπὶ τῆς θεολογίας αἱ χρήσεις τῶν φωνῶν
not only and in the theology the uses of-the expressions
ἐπαλλάττονται, ἀλλ’ ἤδη καὶ πρὸς τὰ ὑπ’ ἀλλήλων
alternate but already also toward the(-things) by one-another
σημαινόμενα πολλάκις ἀντιμεθίστανται, ὅταν ἑτέρα τὴν τῆς
signified often they-exchange-places when the-one the of-the
ἑτέρας σημασίαν ἀντιλαμβάνῃ. οἷον ‘ἐκτησάμην ἄνθρωπον
other meaning takes-up as I-have-gotten (a)-man

διὰ τοῦ Θεοῦ,' φησὶν ὁ Ἀδάμ, ἴσον λέγων τῷ 'ἐκ
through — God says — Adam equal saying to-the from
τοῦ Θεοῦ,' καὶ ἑτέρωθι· ὅσα 'ἐνετείλατο Μωϋσῆς τῷ
— God and elsewhere as-many-as commanded Moses —
Ἰσραὴλ διὰ τοῦ προστάγματος Κυρίου,' καὶ πάλιν· 'οὐχὶ
to-Israel through the command of-(the)-Lord and again not
διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστιν;' ὁ Ἰωσὴφ περὶ
through — God the interpretation of-them is — Joseph about
τῶν ἐνυπνίων τοῖς ἐν τῷ δεσμωτηρίῳ διαλεγόμενος
the dreams to-the(-ones) in the prison conversing
σαφῶς καὶ αὐτὸς ἀντὶ τοῦ 'ἐκ Θεοῦ' εἰπεῖν 'διὰ τοῦ
plainly also he-himself instead-of the from God to-say through —
Θεοῦ' εἴρηκε, καὶ ἀνάπαλιν τῇ 'ἐξ οὗ' προθέσει ἀντὶ
God has-said and conversely with-the from which preposition instead-of
τῆς 'δι' οὗ' κέχρηται Παῦλος, ὡς ὅταν λέγῃ· 'γενόμενος
the through which uses Paul as when he-says having-become
ἐκ γυναικός,' ἀντὶ τοῦ 'διὰ γυναικός.' τοῦτο γὰρ ἡμῖν
from (a)-woman instead-of the through (a)-woman this for to-us
σαφῶς ἑτέρωθι διεστείλατο, γυναικὶ μὲν προσήκειν λέγων
plainly elsewhere he-distinguished to-woman indeed to-belong saying
τὸ 'ἐκ τοῦ ἀνδρὸς' γεγεννῆσθαι, ἀνδρὶ δὲ τὸ 'διὰ τῆς
the from the man to-have-been-born to-man and the through the
γυναικός,' ἐν οἷς φησιν ὅτι 'ὥσπερ γυνὴ ἐξ ἀνδρός,
woman in which he-says that as (the)-woman from man
οὕτως ἀνὴρ διὰ τῆς γυναικός.' ἀλλ' ὅμως ἐνταῦθα
so (the)-man through the woman but nevertheless here
ὁμοῦ μὲν τὸ διάφορον τῆς χρήσεως ἐνδεικνύμενος, ὁμοῦ δὲ
at-once indeed the difference of-the use showing at-once and
καὶ τὸ σφάλμα τινῶν ἐν παραδρομῇ διορθούμενος τῶν
also the error of-some in passing correcting of-the(-ones)
οἰομένων πνευματικὸν εἶναι τοῦ Κυρίου τὸ σῶμα, ἵνα
thinking spiritual to-be of-the Lord the body that

δείξῃ ὅτι ἐκ τοῦ ἀνθρωπείου φυράματος ἡ Θεοφόρος
he-might-show that from the human lump the God-bearing
Σὰρξ συνεπάγη, τὴν ἐμφατικωτέραν φωνὴν προετίμησε
Flesh was-compacted the more-expressive expression he-preferred
(τὸ μὲν γὰρ ‘διὰ γυναικὸς’ παροδικὴν ἔμελλε τὴν ἔννοιαν
the indeed for through (a)-woman passing was-likely the conception
τῆς γεννήσεως ὑποφαίνειν, τὸ δὲ ‘ἐκ τῆς γυναικὸς’ ἱκανῶς
of-the birth to-suggest the and from the woman sufficiently
παραδηλοῦν τὴν κοινωνίαν τῆς φύσεως τοῦ τικτομένου
to-indicate the fellowship of-the nature of-the (one)-born
πρὸς τὴν γεννήσασαν) οὐχ ἑαυτῷ που μαχόμενος,
toward the(-one) having-borne not with-himself somehow fighting
ἀλλὰ δεικνὺς ὅτι ῥᾳδίως ἀλλήλαις ἀντεπιχωριάζουσιν
but showing that easily with-one-another interchange
αἱ φωναί. ὁπότε τοίνυν καὶ ἐφ’ ὧν διωρίσθη τὸ ‘δι’
the expressions when therefore even for whom was-determined the through
οὗ’ κυρίως λέγεσθαι, ἐπὶ τῶν αὐτῶν τούτων τὸ ‘ἐξ οὗ’
which properly to-be-said for the same these the from which
μετελήφθη, τίνα ἔχει λόγον ἐπὶ συκοφαντίᾳ τῆς εὐσεβείας
was-substituted what has reason for slander of-the piety
πάντη ἀλλήλων ἀφορίζειν τὰς λέξεις;
altogether from-one-another to-separate the words

The opponents say the Son is not with the Father but after him, so glory goes through him, not with him. Basil answers that he is after him neither in time nor in place, but with him eternally, as radiance with glory, and equal in honor at his right hand; the fathers kept "with," which glorifies him, while "through" and "in" give thanks for the grace given through him.

Καὶ μὴν οὐδὲ πρὸς τὴν ἐξ ἀγνοίας συγγνώμην δυνατὸν 6
and indeed not-even to the from ignorance pardon (it-is)-possible
αὐτοὺς καταφυγεῖν, οὕτω τεχνικῶς καὶ κακοήθως τὸν λόγον
them to-take-refuge thus artfully and maliciously the word
ὑπολαμβάνοντας. οἵγε προδήλως ἡμῖν χαλεπαίνουσιν,
taking-up who-at-least plainly with-us are-angry
ὅτι μετὰ Πατρὸς ἀποπληροῦμεν τῷ Μονογενεῖ τὴν
because with (the)-Father we-complete to-the Only-begotten the
δοξολογίαν καὶ τὸ ἅγιον Πνεῦμα μὴ διιστῶμεν ἀπὸ
doxology and the holy Spirit not we-separate from
τοῦ Υἱοῦ. ὅθεν νεωτεροποιοὺς ἡμᾶς καὶ καινοτόμους καὶ
the Son whence innovators us and novelty-makers and
ἐφευρετὰς ῥημάτων καὶ τί γὰρ οὐχὶ τῶν ἐπονειδίστων
inventors of-words and what for not of-the reproachful(-names)
ἀποκαλοῦσιν; ὧν τοσοῦτον ἀπέχω δυσχεραίνειν ταῖς
they-call of-which so-far I-am-from to-be-vexed at-the
λοιδορίαις, ὥστε εἰ μὴ λύπην ἡμῖν ἐνεποίει καὶ ἀδιάλειπτον
revilings that if not grief in-us produced and unceasing
ὀδύνην ἡ κατ' αὐτοὺς ζημία, μικροῦ ἂν εἶπον
pain the regarding them loss nearly — I-would-have-said
καὶ χάριν αὐτοῖς τῆς βλασφημίας ἔχειν ὡς μακαρισμοῦ
also gratitude to-them for-the blasphemy to-have as of-blessedness
προξένοις. 'μακάριοι γάρ ἐστε,' φησίν, 'ὅταν ὀνειδίσωσιν
procurers blessed for you-are he-says when they-reproach

ὑμᾶς ἕνεκεν ἐμοῦ.᾽ ἔστι δὲ ἐφ᾽ οἷς ἀγανακτοῦσι
you for-the-sake-of me is and (the-things)-at which they-are-indignant
ταῦτα. ‘οὐ “μετὰ Πατρός,” φασίν, Υἱός, ἀλλὰ “μετὰ
these not with (the)-Father they-say (the)-Son but after
τὸν Πατέρα·” διόπερ ἀκόλουθον “δι᾽ αὐτοῦ” τὴν δόξαν
the Father wherefore consistent through him the glory
προσάγειν τῷ Πατρί, ἀλλ᾽ οὐχὶ “μετ᾽ αὐτοῦ.” τὸ μὲν γὰρ
to-offer to-the Father but not with him the indeed for
“μετ᾽ αὐτοῦ” τὴν ἰσοτιμίαν δηλοῖ, τὸ δὲ “δι᾽ οὗ” τὴν
with him the equality-of-honor shows the but through which the
ὑπουργίαν παρίστησιν. οὔτε μὴν “σὺν τῷ Πατρί, φασί, καὶ
subservience presents nor indeed with the Father they-say and
τῷ Υἱῷ” τὸ Πνεῦμα τακτέον, ἀλλ᾽ “ὑπὸ τὸν Υἱὸν καὶ τὸν
the Son the Spirit must-be-ranked but under the Son and the
Πατέρα,” οὐ “συντεταγμένον,” ἀλλ᾽ “ὑποτεταγμένον,” οὐδὲ
Father not co-ordinated but sub-ordinated nor
“συναριθμούμενον,” ἀλλ᾽ “ὑπαριθμούμενον.’” καὶ τοιαύταις
co-numbered but sub-numbered and with-such
τισὶ τεχνολογίαις ῥημάτων τὸ ἁπλοῦν καὶ ἀκατάσκευον
some technicalities of-words the simple and unartful
τῆς πίστεως διαστρέφουσιν· ὥστε τίνος ἂν δι᾽ ἀπειρίαν
of-the faith they-pervert so-that of-what — through inexperience
συγγνώμης τύχοιεν οἱ μηδὲ τοῖς ἄλλοις ἀπείρως
pardon could-they-obtain the(-ones) not-even to-the others inexperienced
ἔχειν ἐκ τῆς αὐτῶν φιλοπραγμοσύνης ἐπιτρέποντες;
to-be from the their officiousness allowing
Ἡμεῖς δὲ ἐκεῖνο πρῶτον αὐτοὺς ἐρωτήσωμεν, τὸ ‘μετὰ
we but that first them let-us-ask the after
τὸν Πατέρα᾽ πῶς τὸν Υἱὸν λέγουσιν; ὡς χρόνῳ νεώτερον,
the Father how the Son do-they-say as in-time younger
ἢ ὡς τάξει, ἢ ὡς ἀξίᾳ; ἀλλὰ χρόνῳ μὲν οὐδεὶς οὕτως
or as in-order or as in-dignity but in-time indeed no-one so

ἀνόητος ὡς δευτερεύειν λέγειν τὸν Ποιητὴν τῶν αἰώνων,
senseless as to-be-second to-say the Maker of-the ages
οὐδενὸς διαστήματος μεσιτεύοντος τῇ φυσικῇ πρὸς τὸν
no interval intervening in-the natural toward the
Πατέρα τοῦ Υἱοῦ συναφείᾳ. ἀλλὰ μὴν οὔτε τῇ ἐννοίᾳ
Father of-the Son conjunction but indeed not-even in-the conception
τῶν ἀνθρωπίνων συμβαίνει νεώτερον λέγειν τοῦ πατρὸς
of-the human(-things) it-happens younger to-call than-the father
τὸν υἱόν, οὐ μόνον τῷ σὺν ἀλλήλοις νοεῖσθαι κατὰ
the son not only by-the with one-another to-be-conceived according-to
τὴν σχέσιν, ἀλλ' ὅτι ἐκεῖνα λέγεται τῷ χρόνῳ δεύτερα,
the relation but because those(-things) are-called in-the time second
ὅσα τὴν πρὸς τὸ νῦν ἀπόστασιν ἐλάττονα ἔχει, καὶ
as-many-as the toward the now distance less have and
πάλιν ἐκεῖνα πρότερα, ὅσα περισσότερον ἀπέχει τοῦ
again those earlier as-many-as more are-distant from-the
νῦν. οἷον πρότερα τῶν Σοδομιτῶν τὰ κατὰ
now for-example earlier than-the Sodomites the(-things) in-the-time-of
Νῶε, ὅτι τοῦ νῦν ἐπὶ πλέον ἀπῴκισται, καὶ ὕστερα
Noah because from-the now to more are-removed and later
ταῦτα ἐκείνων, ὅτι μᾶλλόν πως δοκεῖ προσεγγίζειν τῷ
these than-those because more somehow seem to-come-near to-the
νῦν. τῆς δὲ πάντα χρόνον καὶ πάντας αἰῶνας ὑπερεχούσης
now the but all time and all ages surpassing
ζωῆς τῇ πρὸς τὸ νῦν ἀποστάσει τὸ εἶναι καταμετρεῖν,
life by-the toward the now distance the being to-measure
πῶς οὐχὶ πρὸς τῇ ἀσεβείᾳ ἔτι καὶ πᾶσαν ὑπερβολὴν ἀνοίας
how not besides the impiety still also all excess of-folly
ἔχει· εἴπερ καθ' ὃν τρόπον τὰ ἐν γενέσει καὶ φθορᾷ
it-has if-indeed in which manner the(-things) in generation and corruption
πρότερα εἶναι ἀλλήλων λέγεται, κατὰ τὸν αὐτὸν τρόπον
earlier to-be than-one-another are-said in the same manner

ὁ Θεὸς καὶ Πατὴρ τῷ Υἱῷ καὶ Θεῷ τῷ ὑπάρχοντι πρὸ
— God and Father than-the Son and God the(-one) existing before
τῶν αἰώνων παραμετρούμενος ὑπερέχοι; ἀλλὰ γὰρ ἡ πρὸς
the ages measured-against should-surpass but for the toward
τὸ ἄνω ὑπεροχὴ τοῦ Πατρὸς ἀθεώρητος, τῷ ἁπαξαπλῶς
the upward superiority of-the Father (is)-unobservable by-the absolutely
μήτε ἐνθύμησιν μήτε τινὰ ἔννοιαν τὴν τοῦ Κυρίου γέννησιν
neither thought nor any conception the of-the Lord generation
ὑπεραίρειν, καλῶς τοῦ Ἰωάννου διὰ δύο φωνῶν εἴσω
to-overpass well — of-John by two expressions within
περιγράπτων ὅρων τὴν διάνοιαν ἀποκλείσαντος ἐν τῷ εἰπεῖν·
circumscribed bounds the mind having-shut-in in the saying
‘ἐν ἀρχῇ ἦν ὁ Λόγος.’ ἀνέκβατον μὲν γὰρ διανοίαις
in (the)-beginning was the Word impassable indeed for to-minds
τὸ ‘ἦν,’ ἀνυπέρβατον δὲ φαντασίαις ‘ἀρχή.’ ὅσον γὰρ ἂν
the was unsurpassable and to-imaginations beginning as-far for —
ἀναδράμῃς τῇ διανοίᾳ ἐπὶ τὸ ἄνω, οὐκ ἐκβαίνεις τὸ ἦν,
you-run-up with-the mind to the upward not you-go-beyond the was
καὶ ὅσον ἂν διαταθῇς ἰδεῖν τοῦ Υἱοῦ τὰ ἐπέκεινα,
and as-far-as — you-strain to-see of-the Son the(-things) beyond
ὑπεράνω γενέσθαι τῆς ἀρχῆς οὐ δυνήσῃ. εὐσεβὲς οὖν
above to-come of-the beginning not you-will-be-able pious then
κατὰ τοῦτον τὸν τρόπον ἅμα νοεῖν τὸν Υἱὸν τῷ Πατρί.
in this the manner together to-conceive the Son with-the Father
Εἰ δ’ ὡς ἐν τόπῳ ὑποκειμένῳ ὑπόβασίν τινα τοῦ Υἱοῦ
if but as in place underlying descent some of-the Son
νοοῦσι πρὸς τὸν Πατέρα, ὥστε ὑπεράνω μὲν τὸν Πατέρα
they-conceive toward the Father so-that above indeed the Father
καθῆσθαι, πρὸς δὲ τὸ ἐφεξῆς εἰς τὸ κάτω τὸν Υἱὸν
to-sit to and the next to the below the Son
ἀπεῶσθαι, ὁμολογείτωσαν τοῦτο, καὶ ἡμεῖς σιωπήσομεν,
to-be-thrust let-them-confess this and we shall-be-silent

τῆς ἐναργείας αὐτόθεν τὸ ἀπεμφαῖνον ἐχούσης. οὐδὲ
the evidence at-once the absurdity having nor
γὰρ τὸ ἐν τοῖς λογισμοῖς ἀκόλουθον διασώζουσιν οἱ
for the in the reasonings consistent they-preserve the(-ones)
διὰ πάντων διήκειν τῷ Πατρὶ μὴ διδόντες, τῆς τῶν
through all to-pervade to-the Father not granting the of-the
ὑγιαινόντων ἐννοίας τὰ πάντα τὸν Θεὸν πεπληρωκέναι
sound(-men) conception the all(-things) — God to-have-filled
πιστευούσης, οὐδὲ μέμνηνται τοῦ προφήτου λέγοντος· ‘ἐὰν
believing nor they-remember of-the prophet saying if
ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν
I-go-up into the heaven you there are if I-go-down into the
ᾅδην, πάρει,’ οἱ τὸ ἄνω καὶ κάτω εἰς Πατέρα
Hades you-are-present the(-ones) the above and below into Father
καὶ Υἱὸν διαιροῦντες. ἵνα δὲ τῆς ἀμαθείας τὸν ἔλεγχον
and Son dividing that but of-the ignorance the refutation
σιωπήσω, τόπον ἐπὶ τῶν ἀσωμάτων ἀφοριζόντων, τί
I-may-pass-over place for the bodiless assigning what
τὴν πρὸς τὰς Γραφὰς μάχην καὶ ἐναντίωσιν αὐτῶν οὕτως
the toward the Scriptures battle and opposition of-them thus
ἀναίσχυντον οὖσαν παραμυθήσεται, τὸ ‘κάθου ἐκ δεξιῶν
shameless being will-excuse the sit at (the)-right
μου,’ καὶ τὸ ‘ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης’ τοῦ
my and the he-sat at (the)-right of-the majesty —
θεοῦ; τὸ γὰρ δεξιὸν οὐ τὴν κάτω χώραν δηλοῖ (ὡς
of-God the for right not the lower place shows as
ὁ τούτων λόγος), ἀλλὰ τὴν πρὸς τὸ ἴσον σχέσιν, οὐ
the of-these argument but the toward the equal relation not
σωματικῶς τοῦ δεξιοῦ λαμβανομένου, (οὕτω γὰρ ἄν τι
bodily the right being-taken thus for — something
καὶ σκαιὸν ἐπὶ τοῦ Θεοῦ εἴη), ἀλλ’ ἐκ τῶν τιμίων τῆς
also left for — God would-be but from the honorable of-the

προσεδρείας ὀνομάτων τὸ μεγαλοπρεπὲς τῆς περὶ τὸν
session names the magnificence of-the toward the
Υἱὸν τιμῆς παριστῶντος τοῦ λόγου. λειπόμενον τοίνυν
Son honor presenting the word remaining therefore
αὐτοὺς τὸ τῆς ἀξίας ὑποδεὲς διὰ τῆς φωνῆς ταύτης
them the of-the worth inferior through the expression this
δηλοῦσθαι λέγειν. μανθανέτωσαν τοίνυν ὅτι ‘Χριστὸς
to-be-shown to-say let-them-learn therefore that Christ
Θεοῦ Δύναμις καὶ Θεοῦ Σοφία,’ καὶ ὅτι ‘Εἰκὼν τοῦ
(is)-of-God (the)-Power and of-God (the)-Wisdom and that Image —
Θεοῦ τοῦ ἀοράτου’ καὶ ‘Ἀπαύγασμα τῆς δόξης,’ καὶ ὅτι
of-God the invisible and Radiance of-the glory and that
‘τοῦτον ὁ Πατὴρ ἐσφράγισεν ὁ Θεός,’ ὅλον αὐτῷ ἑαυτὸν
this(-one) the Father sealed — God whole on-him himself
ἐντυπώσας. ταύτας τοίνυν καὶ ὅσαι ταύταις συγγενεῖς
having-imprinted these therefore and as-many-as to-these akin
κατὰ πᾶσάν εἰσι τὴν Γραφὴν μαρτυρίαι, πότερον
throughout all are the Scripture testimonies whether
ταπεινωτικὰς εἶναί φαμεν, ἢ ὥσπερ τινὰς ἀναρρήσεις τὸ
humbling to-be we-say or as some proclamations the
μεγαλοπρεπὲς τοῦ Μονογενοῦς καὶ τὸ πρὸς τὸν Πατέρα
magnificence of-the Only-begotten and the toward the Father
ἴσον τῆς δόξης ἀνακηρύττειν; ἀκουέτωσαν δὲ καὶ αὐτοῦ
equality of-the glory to-proclaim let-them-hear and also himself
τοῦ Κυρίου σαφῶς ὁμότιμον ἑαυτοῦ τὴν δόξαν τῷ
of-the Lord plainly equal-in-honor his-own the glory to-the
Πατρὶ παριστῶντος ἐν τῷ λέγειν· ‘ὁ ἑωρακὼς ἐμὲ
Father presenting in the saying the(-one) having-seen me
ἑώρακε τὸν Πατέρα,’ καὶ πάλιν· ‘ὅταν ἔλθῃ ὁ Υἱὸς ἐν
has-seen the Father and again when comes the Son in
τῇ δόξῃ τοῦ Πατρός,’ καὶ τὸ ‘ἵνα τιμῶσι τὸν Υἱόν,
the glory of-the Father and the that they-may-honor the Son

καθὼς τιμῶσι τὸν Πατέρα,' καὶ τὸ 'ἐθεασάμεθα τὴν δόξαν
as they-honor the Father and the we-beheld the glory
αὐτοῦ, δόξαν ὡς Μονογενοῦς παρὰ Πατρός,' καὶ τὸ 'ὁ
his glory as of-(the)-Only-begotten from (the)-Father and the the
Μονογενὴς Θεὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός,'
Only-begotten God the(-one) being in the bosom of-the Father
ὧν μηδὲν ὑπολογισάμενοι τὴν τοῖς ἐχθροῖς ἀφωρισμένην
of-which nothing having-taken-account-of the for-the enemies assigned
χώραν τῷ Υἱῷ προστιθέασι. κόλπος μὲν γὰρ πατρικὸς
place to-the Son they-apply bosom indeed for paternal
Υἱῷ καθέδρα πρέπουσα, ἡ δὲ τοῦ ὑποποδίου χώρα
for-(the)-Son (a)-seat befitting the but of-the footstool place
τοῖς ἐπιδεομένοις τῆς ὑποπτώσεως. ἡμεῖς μὲν οὖν ἐφ'
for-the(-ones) needing of-the subjection we indeed then to
ἕτερα τὴν ὁρμὴν ἔχοντες παρατρεχόντως τῶν μαρτυριῶν
other(-things) the impulse having cursorily the testimonies
ἐφηψάμεθα· ἔξεστι δὲ σοὶ κατὰ σχολὴν συναγαγόντι
we-touched it-is-allowed but for-you at leisure having-collected
τὰς ἀποδείξεις τὸ τῆς δόξης ὕψος καὶ τὸ τῆς δυνάμεως
the proofs the of-the glory height and the of-the power
ὑπερέχον τοῦ Μονογενοῦς κατιδεῖν. καίτοι εὐγνώμονι
surpassing of-the Only-begotten to-observe and-yet to-(a)-fair-minded
ἀκροατῇ οὐδὲ ταῦτα μικρά, εἰ μή τις σαρκικῶς
hearer not-even these(-things) (are)-small if not anyone carnally
καὶ ταπεινῶς ἐξακούοι τοῦ δεξιοῦ καὶ τοῦ κόλπου, ὥστε
and lowly should-hear of-the right and of-the bosom so-as
τόπῳ τε τὸν Θεὸν περιγράφειν, καὶ ἀναπλάττειν σχῆμα
in-place both — God to-circumscribe and to-fashion shape
καὶ τύπον καὶ θέσιν σωματικήν, ἃ παραπολὺ τῆς
and form and position bodily which very-far from-the
ἐννοίας τοῦ ἁπλοῦ καὶ ἀπείρου καὶ ἀσωμάτου διώρισται·
conception of-the simple and infinite and bodiless are-separated

πλήν γε δὴ ὅτι τὸ τῆς ἐννοίας αὐτοῦ ταπεινὸν ἐπί
except at-least indeed that the of-the conception his lowness for
τε Πατρὸς καὶ Υἱοῦ παραπλήσιον, ὥστε οὐ καθαιρεῖ τοῦ
both Father and Son (is)-similar so-that not he-pulls-down of-the
Υἱοῦ τὴν ἀξίαν, ἀλλὰ προσλαμβάνει τὸ κρῖμα τῆς εἰς
Son the dignity but takes-on the judgment of-the against
τὸν Θεὸν βλασφημίας ὁ τὰ τοιαῦτα διεξιών. ἐν οἷς
— God blasphemy the(-one) the such(-things) going-through in which
γὰρ ἂν κατατολμήσῃ τοῦ Υἱοῦ, ταῦτα ἀνάγκη αὐτῷ
for — he-may-venture of-the Son these(-things) necessity for-him
μετατιθέναι πρὸς τὸν Πατέρα. ὁ γὰρ τῷ Πατρὶ τὴν
to-transfer to the Father the(-one) for to-the Father the
ἄνω χώραν εἰς προεδρίαν ἀποδιδούς, τὸν δὲ Μονογενῆ
upper place for presidency assigning the and Only-begotten
Υἱὸν ὑποκαθῆσθαι λέγων, πάντα ἀκολουθοῦντα ἕξει τὰ
Son to-sit-below saying all following will-have the
σωματικὰ συμπτώματα τῷ ἑαυτοῦ ἀναπλασμῷ. εἰ δὲ
bodily accidents to-the his-own fiction if but
ταῦτα οἰνοπλήκτων καὶ ἐκ φρενίτιδος παραφόρων τὸν
these of-wine-struck(-men) and from frenzy deranged in-the
νοῦν τὰ φαντάσματα, πῶς εὐσεβὲς τὸν τῇ φύσει,
mind the phantasms how (is-it)-pious the(-one) in-the nature
τῇ δόξῃ, τῷ ἀξιώματι συνημμένον μὴ μετὰ Πατρὸς
in-the glory in-the dignity joined not with (the)-Father
προσκυνεῖν καὶ δοξάζειν τοὺς παρ' αὐτοῦ διδαχθέντας,
to-worship and to-glorify the(-ones) by him taught
ὅτι 'ὁ μὴ τιμῶν τὸν Υἱὸν οὐ τιμᾷ τὸν Πατέρα;' τί
that the(-one) not honoring the Son not honors the Father what
γὰρ καὶ φήσομεν; τίνα ἕξομεν δικαίαν ἀπολογίαν ἐπὶ τοῦ
for also shall-we-say what shall-we-have just defense at the
φοβεροῦ καὶ κοινοῦ τῆς κτίσεως πάσης δικαστηρίου, εἰ τοῦ
fearful and common of-the creation all judgment-seat if the

Κυρίου σαφῶς ἐπαγγελλομένου ἥξειν ἐν τῇ δόξῃ
Lord plainly announcing (that-he-will)-come in the glory
Basil names the fathers whose doxologies join the Spirit by with or by and: Irenaeus, Clement, the two Dionysii, Eusebius, Origen, Africanus, the lamp-lighting hymn, Athenogenes, Gregory the Great, Firmilian, and Meletius. He likens the church's state to a sea battle in a storm, which had kept him silent, but love bade him speak, and he ends trusting the Lord to supply through the Spirit what is lacking.

Πρός γε μὴν τὸ ἀμάρτυρον καὶ ἄγραφον εἶναι τὴν 29
toward at-least however the unattested and unwritten to-be the
'σὺν τῷ Πνεύματι' δοξολογίαν ἐκεῖνο λέγομεν, ὅτι εἰ μὲν
with the Spirit doxology that we-say that if indeed
μηδὲν ἕτερον ἄγραφον, μηδὲ τοῦτο παραδεχθήτω, εἰ δὲ
nothing other (is)-unwritten not-even this let-be-accepted if but
τὰ πλεῖστα τῶν μυστικῶν ἀγράφως ἡμῖν ἐμπολιτεύεται,
the most of-the mystical(-things) unwrittenly among-us are-current
μετὰ πολλῶν τῶν ἑτέρων καὶ τοῦτο καταδεξώμεθα.
with many the others also this let-us-accept
ἀποστολικὸν δὲ οἶμαι καὶ τὸ ταῖς ἀγράφοις παραδόσεσι
apostolic and I-think also the to-the unwritten traditions
παραμένειν. 'ἐπαινῶ' γάρ, φησίν, 'ὑμᾶς, ὅτι πάντα μου
to-adhere I-praise for he-says you that all(-things) of-me
μέμνησθε, καὶ καθὼς παρέδωκα ὑμῖν τὰς παραδόσεις
you-remember and as I-delivered to-you the traditions
κατέχετε.' καὶ τὸ 'κρατεῖτε τὰς παραδόσεις, ἃς παρελάβετε
you-hold and the hold-fast the traditions which you-received
εἴτε διὰ λόγου εἴτε δι' ἐπιστολῆς.' ὧν μία ἐστὶ
whether through word or through letter of-which one is
καὶ ἡ παροῦσα αὕτη, ἣν οἱ ἐξ ἀρχῆς διαταξάμενοι
also the present this which those from (the)-beginning having-ordained
παραδιδόντες τοῖς ἐφεξῆς συμπροϊούσης ἀεὶ τῷ χρόνῳ
handing-down to-those after advancing-with always the time

τῆς χρήσεως διὰ μακρᾶς τῆς συνηθείας ταῖς Ἐκκλησίαις
the use through long the custom in-the Churches
ἐγκατερρίζωσαν. ἆρ᾽ οὖν εἰ ὡς ἐν δικαστηρίῳ τῆς διὰ τῶν
rooted is-it then if as in (a)-court of-the through the
ἐγγράφων ἀποδείξεως ἀποροῦντες μαρτύρων ὑμῖν πλῆθος
written(-texts) proof being-at-a-loss of-witnesses to-you (a)-multitude
παραστησαίμεθα, οὐκ ἂν τῆς ἀφιείσης παρ᾽ ὑμῶν ψήφου
we-should-present not — of-the acquitting from you vote
τύχοιμεν; ἐγὼ μὲν οὕτως οἶμαι· ‘ἐπὶ στόματος γὰρ δύο
would-we-obtain I indeed so think upon mouth for of-two
καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα᾽ εἰ δὲ καὶ τὸν
and of-three witnesses shall-be-established every word if and also the
πολὺν χρόνον πρὸς ἡμῶν ὄντα ἐναργῶς ὑμῖν ἐπεδείκνυμεν,
long time on our(-side) being clearly to-you we-were-showing
οὐκ ἂν ἐδόξαμεν ὑμῖν εἰκότα λέγειν μὴ εἶναι
not — would-we-have-seemed to-you reasonable(-things) to-say not to-be
καθ᾽ ἡμῶν τὴν δίκην εἰσαγώγιμον ταύτην; δυσωπητικὰ
against us the suit admissible this awe-inspiring
γάρ πως τὰ παλαιὰ τῶν δογμάτων, οἱονεὶ πολιᾷ τινι
for somehow the old(-things) of-the doctrines as-if by-gray-hair some
τῇ ἀρχαιότητι τὸ αἰδέσιμον ἔχοντα. ἀπαριθμήσομαι οὖν
the antiquity the venerable having I-will-enumerate then
ὑμῖν τοὺς προστάτας τοῦ λόγου (συμπαραμετρεῖται δὲ
for-you the champions of-the expression is-measured-along and
πάντως κατὰ τὸ σιωπώμενον καὶ ὁ χρόνος)· οὐ γὰρ
certainly according-to the unspoken also the time not for
ἐξ ἡμῶν ὥρμηται πρῶτον. πόθεν; χθιζοί τινες ὄντως
from us it-has-started first whence of-yesterday some truly
ἡμεῖς, κατὰ τὸν τοῦ Ἰὼβ λόγον, πρός γε τοσοῦτον
we according-to the — of-Job word compared-to at-least so-much
χρόνον τὸν τῆς συνηθείας ταύτης ἡλικιώτην. ἐγὼ μὲν
time the of-the custom this coeval I indeed

οὖν αὐτός, εἰ χρή με τοὐμὸν ἴδιον εἰπεῖν, ὥσπερ
then myself if it-is-needful me my own to-say as
τινὰ κλῆρον πατρῷον τὴν φωνὴν ταύτην διαφυλάττω,
some inheritance ancestral the word this I-preserve
παραλαβὼν παρὰ ἀνδρὸς μακρὸν ἐν τῇ λειτουργίᾳ τοῦ
having-received from (a)-man long in the service —
Θεοῦ διαζήσαντος χρόνον, δι' οὗ καὶ ἐβαπτίσθην καὶ
of-God having-lived time through whom both I-was-baptized and
τῇ ὑπηρεσίᾳ τῆς Ἐκκλησίας προσήχθην· ἀναζητῶν δὲ κατ'
to-the ministry of-the Church was-brought searching but by
ἐμαυτὸν εἴ τις ἄρα τῶν παλαιῶν καὶ μακαρίων ἀνδρῶν
myself whether any then of-the old and blessed men
ἐχρήσατο ταύταις ταῖς νῦν ἀντιλεγομέναις φωναῖς, πολλοὺς
used these the now disputed words many
εὗρον καὶ τῇ ἀρχαιότητι τὸ ἀξιόπιστον ἔχοντας καὶ τῇ
I-found both by-the antiquity the credibility having and by-the
τῆς γνώσεως ἀκριβείᾳ οὐ κατὰ τοὺς νῦν ὄντας· ὧν
of-the knowledge precision not like those now being of-whom
οἱ μὲν τῇ προθέσει, οἱ δὲ τῷ συνδέσμῳ κατὰ τὴν
some indeed by-the preposition others and by-the conjunction in the
δοξολογίαν τὸν λόγον ἑνώσαντες οὐδὲν διάφορον δρᾷν ὡς
doxology the word having-united nothing different to-do as
γε πρὸς τὴν ὀρθὴν τῆς εὐσεβείας ἔννοιαν ἐνομίσθησαν.
at-least toward the right of-the piety conception were-thought
Εἰρηναῖος ἐκεῖνος καὶ Κλήμης ὁ Ῥωμαῖος καὶ Διονύσιος
Irenaeus that(-one) and Clement the Roman and Dionysius
ὁ Ῥωμαῖος καὶ ὁ Ἀλεξανδρεὺς Διονύσιος, ὃ καὶ
the Roman and the Alexandrian Dionysius which also
παράδοξον ἀκοῦσαι, ἐν τῇ δευτέρᾳ πρὸς τὸν ὁμώνυμον
(is)-paradoxical to-hear in the second to the namesake
ἑαυτοῦ ἐπιστολῇ περὶ ἐλέγχου καὶ ἀπολογίας οὕτω τὸν
his-own letter about refutation and defense thus the

λόγον ἀνέπαυσε. γράψω δὲ ὑμῖν αὐτὰ τοῦ ἀνδρὸς τὰ
discourse he-ended I-will-write and to-you very of-the man the
ῥήματα· ‘τούτοις,’ φησί, ‘πᾶσιν ἀκολούθως καὶ ἡμεῖς καὶ
words to-these he-says all consistently also we and
δὴ παρὰ τῶν πρὸ ἡμῶν πρεσβυτέρων τύπον καὶ κανόνα
indeed from the before us elders (a)-pattern and rule
παρειληφότες ὁμοφώνως αὐτοῖς προσευχαριστοῦντες καὶ
having-received in-harmony with-them giving-thanks and
δὴ καὶ νῦν ὑμῖν ἐπιστέλλοντες καταπαύομεν. τῷ δὲ
indeed also now to-you writing we-end — and
Θεῷ Πατρὶ καὶ Υἱῷ τῷ Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ σὺν
to-God Father and to-Son the Lord our Jesus Christ with
τῷ ἁγίῳ Πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας
the holy Spirit (be)-glory and might unto the ages
τῶν αἰώνων, ἀμήν.’ καὶ ταῦτα οὐκ ἄν τις εἴποι
of-the ages amen and these(-things) not — anyone would-say
μεταγεγράφθαι. οὐ γὰρ ἂν οὕτω διετείνατο, τύπον
to-have-been-altered not for — thus he-would-have-insisted (a)-pattern
καὶ κανόνα παρειληφέναι λέγων, εἴπερ ‘ἐν τῷ Πνεύματι’
and rule to-have-received saying if-indeed in the Spirit
εἰρηκὼς ἦν· ταύτης γὰρ τῆς φωνῆς ἡ χρῆσις πολλή.
having-said he-was of-this for the word the use (is)-much
ἀλλ’ ἐκεῖνο ἦν τὸ τῆς ἀπολογίας δεόμενον. ὅς γε
but that was the(-thing) of-the defense needing who at-least
καὶ κατὰ μέσον που τῆς γραφῆς οὕτως εἴρηκε πρὸς
also about (the)-middle somewhere of-the writing thus has-said against
τοὺς Σαβελλιανούς· ‘εἰ τῷ τρεῖς εἶναι τὰς Ὑποστάσεις
the Sabellians if by-the three to-be the Hypostases
μεμερισμένας εἶναι λέγουσι, τρεῖς εἰσι κἂν μὴ θέλωσιν·
divided to-be they-say three they-are even-if not they-wish
ἢ τὴν Θείαν Τριάδα παντελῶς ἀνελέτωσαν.’ καὶ πάλιν·
or the Divine Trinity utterly let-them-destroy and again

‘Θειοτάτη γὰρ διὰ τοῦτο μετὰ τὴν Μονάδα καὶ ἡ
most-divine for because-of this after the Monad also the
Τριάς.’ ἀλλὰ καὶ ὁ Κλήμης ἀρχαϊκώτερον, ‘ζῇ,’ φησίν,
Trinity but also — Clement more-anciently lives he-says
‘ὁ Θεὸς καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς καὶ τὸ Πνεῦμα
— God and the Lord Jesus Christ and the Spirit
τὸ ἅγιον.’ Εἰρηναῖος δὲ ὁ ἐγγὺς τῶν Ἀποστόλων
the holy Irenaeus and the(-one) near the Apostles
γενόμενος πῶς ἐμνήσθη τοῦ Πνεύματος ἐν τῷ πρὸς τὰς
having-been how he-mentioned the Spirit in the against the
αἱρέσεις λόγῳ, ἀκούσωμεν. ‘τοὺς δὲ ἀχαλιναγωγήτους,’
heresies treatise let-us-hear those and unbridled
φησί, ‘καὶ καταφερομένους εἰς τὰς ἑαυτῶν ἐπιθυμίας,
he-says and carried-away into the their-own desires
μηδεμίαν ἔχοντας ἐπιθυμίαν Θείου Πνεύματος, δικαίως ὁ
no having desire of-Divine Spirit justly the
Ἀπόστολος σαρκικοὺς καλεῖ.’ καὶ ἐν ἄλλοις ὁ αὐτός φησιν·
Apostle carnal calls and in others the same says
‘ἵνα μὴ ἄμοιροι Θείου Πνεύματος γενόμενοι ἀποτύχωμεν
that not without-share of-Divine Spirit having-become we-may-fail-of
τῆς βασιλείας τῶν οὐρανῶν, ἐπεβόησεν ὁ Ἀπόστολος μὴ
the kingdom of-the heavens cried-out the Apostle not
δύνασθαι τὴν σάρκα βασιλείαν οὐρανῶν κληρονομῆσαι.’ εἰ
to-be-able the flesh (the)-kingdom of-heavens to-inherit if
δέ τῳ καὶ ὁ Παλαιστῖνος Εὐσέβιος ἀξιόπιστος διὰ
and to-anyone also the Palestinian Eusebius (is)-credible because-of
πολυπειρίαν, κἀκείνου τὰς αὐτὰς φωνὰς ἐπιδείκνυμεν ἐν
much-experience of-him-too the same words we-show in
τοῖς ἐπαπορήμασι περὶ τῆς τῶν ἀρχαίων πολυγαμίας.
the inquiries about the of-the ancients polygamy
λέγει γὰρ οὕτω παρορμῶν ἑαυτὸν ἐπὶ τὸν λόγον· ‘τὸν
he-says for thus urging himself to the word the

τῶν προφητῶν ἅγιον Θεὸν Φωταγωγὸν διὰ τοῦ Σωτῆρος
of-the prophets holy God Light-giver through the Savior
ἡμῶν Ἰησοῦ Χριστοῦ σὺν ἁγίῳ Πνεύματι καλέσαντες.'
our Jesus Christ with holy Spirit having-invoked
Ἤδη δὲ καὶ Ὠριγένην ἐν πολλαῖς τῶν εἰς τοὺς ψαλμοὺς
already and also Origen in many of-the on the psalms
διαλέξεων εὕρομεν 'σὺν τῷ ἁγίῳ Πνεύματι' τὴν δόξαν
discourses we-found with the holy Spirit the glory
ἀποδιδόντα, ἄνδρα οὐδὲ πάνυ τι ὑγιεῖς περὶ τοῦ
rendering (a)-man not-even at-all anything sound about the
Πνεύματος τὰς ὑπολήψεις ἐν πᾶσιν ἔχοντα· πλὴν
Spirit the conceptions in all having nevertheless
ἀλλὰ πολλαχοῦ καὶ αὐτὸς τῆς συνηθείας τὸ ἰσχυρὸν
but in-many-places also himself of-the custom the strength
δυσωπούμενος τὰς εὐσεβεῖς φωνὰς ἀφῆκε περὶ τοῦ
awed the pious words uttered about the
Πνεύματος. ὅς γε κατὰ τὸ ἕκτον οἶμαι τῶν εἰς τὸ
Spirit who at-least in the sixth I-think of-the on the
κατὰ Ἰωάννην εὐαγγέλιον ἐξηγητικῶν καὶ προσκυνητὸν
according-to John gospel commentaries also worshipful
αὐτὸ φανερῶς ἀπεφήνατο, οὑτωσὶ γράφων κατὰ λέξιν· ὅτι
it clearly declared thus writing by word that
'τὸ τοῦ ὕδατος λουτρὸν σύμβολον τυγχάνει καθαρσίου
the of-the water washing (a)-symbol is of-(the)-purification
ψυχῆς πάντα ῥύπον τὸν ἀπὸ κακίας ἀποπλυνομένης·
of-(the)-soul all filth the from vice washing-off
οὐδὲν δὲ ἧττον καὶ καθ' ἑαυτὸ τῷ ἐμπαρέχοντι
nothing but less also by itself to-the(-one) offering
ἑαυτὸν τῇ Θεότητι τῆς προσκυνητῆς Τριάδος διὰ
himself to-the Godhead of-the worshipful Trinity through
τῆς δυνάμεως τῶν ἐπικλήσεων χαρισμάτων ἀρχὴν ἔχει
the power of-the invocations of-gifts beginning it-has

καὶ πηγήν.' καὶ πάλιν ἐν τοῖς εἰς τὴν πρὸς Ῥωμαίους
and source and again in the on the to Romans
ἐπιστολὴν ἐξηγητικοῖς· 'αἱ ἱεραί,' φησί, 'δυνάμεις χωρητικαὶ
letter commentaries the holy he-says powers receptive
τοῦ Μονογενοῦς καὶ τῆς τοῦ ἁγίου Πνεύματος Θεότητος.'
of-the Only-begotten and of-the of-the holy Spirit Godhead
οὕτως οἶμαι τὸ τῆς παραδόσεως ἰσχυρὸν ἐνῆγε πολλάκις
thus I-think the of-the tradition strength led often
τοὺς ἄνδρας καὶ τοῖς οἰκείοις αὐτῶν δόγμασιν ἀντιλέγειν.
the men even to-the own their doctrines to-contradict
ἀλλ' οὐδὲ Ἀφρικανὸν τὸν ἱστοριογράφον τὸ τοιοῦτον εἶδος
but not-even Africanus the historian the such form
τῆς δοξολογίας παρέλαθε. φαίνεται γὰρ ἐν τῷ πέμπτῳ τῆς
of-the doxology escaped he-appears for in the fifth of-the
τῶν χρόνων ἐπιτομῆς οὕτω καὶ αὐτὸς λέγων· 'ἡμεῖς γὰρ
of-the times epitome thus also himself saying we for
οἱ κἀκείνων τῶν ῥημάτων τὸ μέτρον ἐπιστάμενοι καὶ
the(-ones) also-of-those the words the measure knowing and
τῆς πίστεως οὐκ ἀγνοοῦντες τὴν χάριν εὐχαριστοῦμεν τῷ
of-the faith not ignorant-of the grace give-thanks to-the
Πατρὶ τῷ παρασχομένῳ τοῖς ἰδίοις ἡμῖν τὸν τῶν ὅλων
Father the(-one) having-provided to-his own us the of-the all(-things)
Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν Χριστόν· ᾧ ἡ
Savior and Lord our Jesus Christ to-whom (be)-the
δόξα, μεγαλωσύνη σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας.'
glory greatness with holy Spirit unto the ages
τὰ μὲν οὖν ἄλλα τυχὸν καὶ ἀπιστηθῆναι δύναται,
the indeed then other(-things) perhaps even to-be-disbelieved can
ἢ καὶ μεταγραφέντα δυσφώρατον ἔχειν τὴν κακουργίαν,
or even having-been-altered hard-to-detect have the villainy
ἐν μιᾷ συλλαβῇ τῆς διαφορᾶς ὑπαρχούσης· ᾗ δὲ διὰ
in one syllable the difference consisting what but through

μακροτέρας τῆς λέξεως παρεθέμεθα, καὶ τὴν ἐπιβουλὴν
longer the wording we-cited both the plot
διαφεύγει καὶ τὴν μαρτυρίαν ἀπ᾽ αὐτῶν τῶν συγγραμμάτων
escape and the testimony from very the writings
εὐαπόδεικτον ἔχει. ὃ δὲ ἄλλως μὲν ἴσως μικροπρεπὲς
easy-to-prove have what and otherwise indeed perhaps petty
ἦν εἰς μέσον ἄγεσθαι, τῷ δὲ καινοτομίαν
would-be into (the)-middle to-be-brought to-the(-one) but of-innovation
ἐγκαλουμένῳ ἀναγκαῖον εἰς μαρτυρίαν διὰ τοῦ χρόνου
accused necessary for testimony through the time
τὴν ἀρχαιότητα, τοῦτο δὴ καὶ προσθήσω. ἔδοξε
the antiquity this indeed also I-will-add it-seemed-good
τοῖς πατράσιν ἡμῶν μὴ σιωπῇ τὴν χάριν τοῦ ἑσπερινοῦ
to-the fathers our not in-silence the grace of-the evening
φωτὸς δέχεσθαι, ἀλλ᾽ εὐθὺς φανέντος εὐχαριστεῖν.
light to-receive but at-once it-having-appeared to-give-thanks
καὶ ὅστις μὲν ὁ πατὴρ τῶν ῥημάτων ἐκείνων τῆς
and who indeed the father of-the words those of-the
ἐπιλυχνίου εὐχαριστίας, εἰπεῖν οὐκ ἔχομεν· ὁ μέντοι λαὸς
lamp-lighting thanksgiving to-say not we-can the however people
ἀρχαίαν ἀφίησι τὴν φωνήν, καὶ οὐδενὶ πώποτε ἀσεβεῖν
ancient utters the word and to-no-one ever to-be-impious
ἐνομίσθησαν οἱ λέγοντες· ‘αἰνοῦμεν Πατέρα καὶ Υἱὸν καὶ
were-thought those saying we-praise Father and Son and
ἅγιον Πνεῦμα Θεοῦ.’ εἰ δέ τις καὶ τὸν ὕμνον Ἀθηνογένους
holy Spirit of-God if and anyone also the hymn of-Athenogenes
ἔγνω, ὃν ὥσπερ ἄλλο τι ἐξιτήριον τοῖς συνοῦσιν
knew which as other some farewell to-those being-with
αὐτῷ καταλέλοιπεν, ὁρμῶν ἤδη πρὸς τὴν διὰ πυρὸς
him he-left hastening already to the through fire

τελείωσιν, οἶδε καὶ τὴν τῶν μαρτύρων γνώμην ὅπως
perfection he-knows also the of-the martyrs mind how
εἶχον περὶ τοῦ Πνεύματος. καὶ ταῦτα μὲν εἰς τοσοῦτον.
they-held about the Spirit and these(-things) indeed to so-much
Γρηγόριον δὲ τὸν μέγαν καὶ τὰς ἐκείνου φωνὰς ποῦ
Gregory and the great and the of-that-man words where
θήσομεν; ἆρ᾽ οὐχὶ μετὰ τῶν Ἀποστόλων καὶ προφητῶν;
shall-we-set is-it not with the Apostles and prophets
ἄνδρα τῷ αὐτῷ Πνεύματι ἐκείνοις περιπατήσαντα καὶ
(a)-man by-the same Spirit with-them having-walked and
τοῖς τῶν ἁγίων ἴχνεσι διὰ παντὸς τοῦ βίου στοιχήσαντα
in-the of-the saints footsteps through all the life having-kept-in-line
καὶ τῆς εὐαγγελικῆς πολιτείας τὸ ἀκριβὲς διὰ πάσης
and of-the evangelical way-of-life the exactness through all
αὐτοῦ τῆς ζωῆς κατορθώσαντα; ἐγὼ μὲν τοῦτό φημι,
his the life having-achieved I indeed this say
ἢ ἀδικήσομεν τὴν ἀλήθειαν, μὴ τοῖς ᾠκειωμένοις Θεῷ
truly we-shall-wrong the truth not with-those made-kin to-God
τὴν ψυχὴν ἐκείνην συναριθμοῦντες οἷόν τινα λαμπτῆρα
the soul that numbering as some lamp
περιφανῆ μέγαν ἐν τῇ Ἐκκλησίᾳ τοῦ Θεοῦ διαλάμψαντα·
conspicuous great in the Church — of-God having-shone-forth
ὃς φοβερὸν μὲν εἶχεν ἐκ τῆς τοῦ Πνεύματος συνεργίας
who terrible indeed had from the of-the Spirit cooperation
κατὰ δαιμόνων τὸ κράτος, τοσαύτην δὲ ἔλαβε τοῦ λόγου
against demons the might so-much and he-received of-the word
τὴν χάριν εἰς ὑπακοὴν πίστεως ἐν τοῖς ἔθνεσιν, ὥστε
the grace for obedience of-faith among the nations that
ἑπτακαίδεκα μόνους Χριστιανοὺς παραλαβὼν ὅλον τὸν λαὸν
seventeen only Christians having-received whole the people
τόν τε ἀστικὸν καὶ τὸν χωριτικὸν διὰ τῆς ἐπιγνώσεως
the both of-the-city and the rural through the knowledge

προσήγαγε τῷ Θεῷ. ἐκεῖνος καὶ ποταμῶν ῥεῖθρα
he-brought — to-God he also of-rivers streams
μετέστησεν, ἐπιτάξας αὐτοῖς ἐν τῷ μεγάλῳ ὀνόματι τοῦ
changed having-commanded them in the great name —
Χριστοῦ, καὶ λίμνην ἐξήρανεν ὑπόθεσιν πολέμου φέρουσαν
of-Christ and (a)-lake dried-up (a)-cause of-war bearing
ἀδελφοῖς πλεονέκταις. αἱ δὲ τῶν μελλόντων προαγορεύσεις
to-brothers greedy the and of-the future(-things) predictions
τοιαῦται ὡς μηδὲν τῶν μεγάλων προφητῶν ἀποδεῖν. καὶ
such as in-nothing than-the great prophets to-fall-short and
ὅλως μακρὸν ἂν εἴη τοῦ ἀνδρὸς διηγεῖσθαι τὰ θαύματα,
in-short long — would-be of-the man to-relate the wonders
ὃς τῇ ὑπερβολῇ τῶν ἐν αὐτῷ χαρισμάτων τῶν
who by-the excess of-the in him gifts of-the(-ones)
ἐνεργουμένων ὑπὸ τοῦ Πνεύματος ἐν πάσῃ δυνάμει καὶ
worked by the Spirit in all power and
σημείοις καὶ τέρασι δεύτερος Μωϋσῆς παρ᾽ αὐτῶν τῶν
signs and wonders (a)-second Moses by very the
ἐχθρῶν τῆς Ἐκκλησίας ἀνηγορεύετο. οὕτως αὐτῷ ἐν παντὶ
enemies of-the Church was-proclaimed thus to-him in every
λόγῳ καὶ ἔργῳ τῶν ἐπιτελουμένων διὰ τῆς χάριτος
word and deed of-the(-things) accomplished through the grace
οἷόν τι φῶς ἐπέλαμπε, μήνυμα τῆς οὐρανίου δυνάμεως
as some light shone (a)-token of-the heavenly power
τῆς ἐκ τοῦ ἀφανοῦς παρεπομένης αὐτῷ. τούτου μέγα
of-the from the invisible accompanying him of-this(-man) great
ἔτι καὶ νῦν τοῖς ἐγχωρίοις τὸ θαῦμα, καὶ νεαρὰ καὶ ἀεὶ
still even now to-the natives the wonder and fresh and always
πρόσφατος ἡ μνήμη ταῖς Ἐκκλησίαις ἐνίδρυται, οὐδενὶ
recent the memory in-the Churches is-established by-no
χρόνῳ ἀμαυρουμένη. οὐκοῦν οὐ πρᾶξίν τινα, οὐ λόγον,
time being-dimmed therefore not practice any not word

οὐ τύπον τινὰ μυστικὸν παρ᾽ ὃν ἐκεῖνος κατέλιπε τῇ
not rite any mystical beyond what he left to-the
Ἐκκλησίᾳ προσέθηκαν. ταύτῃ τοι καὶ πολλὰ τῶν παρ᾽
Church they-added for-this-reason surely also many of-the among
αὐτοῖς τελουμένων ἐλλειπῶς ἔχειν δοκεῖ διὰ τὸ τῆς
them performed(-things) defective to-be seem because-of the of-the
καταστάσεως ἀρχαιότροπον. οὐδὲν γὰρ ἠνέσχοντο οἱ
constitution old-fashioned nothing for endured those
κατὰ διαδοχὴν τὰς Ἐκκλησίας οἰκονομήσαντες τῶν
by succession the Churches having-administered of-the(-things)
μετ᾽ ἐκεῖνον ἐφευρεθέντων παραδέξασθαι εἰς προσθήκην.
after him invented to-accept for addition
ἓν τοίνυν τῶν Γρηγορίου καὶ ὁ νῦν ἀντιλεγόμενος
one therefore of-the(-things) of-Gregory also the now disputed
τρόπος τῆς δοξολογίας ἐστίν, ἐκ τῆς ἐκείνου παραδόσεως
manner of-the doxology is from the his tradition
τῇ Ἐκκλησίᾳ πεφυλαγμένος, καὶ οὐ πολὺς ὁ πόνος
in-the Church preserved and not great the toil
μικρὸν κινηθέντι τὴν ἐπὶ τούτοις πληροφορίαν λαβεῖν.
a-little for-(one)-moving the about these(-things) full-assurance to-take
ταύτην καὶ Φιρμιλιανῷ τῷ ἡμετέρῳ μαρτυροῦσι τὴν πίστιν
this also to-Firmilian the our attest the faith
οἱ λόγοι, οὓς καταλέλοιπε. καὶ Μελέτιον τὸν πάνυ ἐπὶ
the writings which he-has-left and Meletius the eminent on
ταύτης εἶναι τῆς γνώμης οἱ συγγεγονότες φασί. καὶ
this to-be the opinion those having-been-with(-him) say and
τί δεῖ τὰ παλαιὰ λέγειν; ἀλλὰ νῦν ἐπὶ τῆς ἑῴας
why (one)-must the old(-things) say but now in the east
οὐχ ἑνὶ μάλιστα τούτῳ τοὺς εὐσεβοῦντας γνωρίζουσιν,
not by-one especially this the pious they-recognize
οἷόν τινι σημείῳ τῇ φωνῇ ταύτῃ φυλοκρινοῦντες; ὡς
as by-some sign by-the word this distinguishing as

δὲ ἐγώ τινος τῶν ἐκ Μεσοποταμίας ἤκουσα, ἀνδρὸς
and I from-someone of-those from Mesopotamia heard (a)-man
καὶ τῆς γλώσσης ἐμπείρως ἔχοντος καὶ ἀδιαστρόφου τὴν
both of-the tongue experienced being and undistorted the
γνώμην, οὐδὲ δυνατὸν ἑτέρως εἰπεῖν τῇ ἐγχωρίῳ φωνῇ,
judgment not-even possible otherwise to-say in-the native language
κἂν ἐθέλωσιν, ἀλλὰ διὰ τῆς ‘καὶ’ συλλαβῆς, μᾶλλον
even-if they-wish but through the and syllable rather
δὲ τῶν ἰσοδυναμουσῶν αὐτῇ φωνῶν, κατά τι ἰδίωμα
but of-the equivalent to-it words according-to some idiom
πάτριον ἀνάγκην αὐτοῖς εἶναι τὴν δοξολογίαν προφέρειν.
ancestral necessity for-them to-be the doxology to-utter
καὶ Καππαδόκαι δὲ οὕτω λέγομεν ἐγχωρίως, ἔτι τότε ἐν
and Cappadocians too thus we-speak natively still then in
τῇ τῶν γλωσσῶν διαιρέσει τὸ ἐκ τῆς λέξεως χρήσιμον
the of-the tongues division the from the expression useful
προβλεψαμένου τοῦ Πνεύματος. τί δὲ ἡ δύσις ἅπασα
having-foreseen the Spirit what but the west all
μικροῦ δεῖν ἀπὸ τοῦ Ἰλλυρικοῦ μέχρι τῶν ὅρων τῆς
by-little to-lack from the Illyricum to the bounds of-the
καθ’ ἡμᾶς οἰκουμένης; οὐχὶ τὴν φωνὴν ταύτην πρεσβεύει;
in us inhabited(-world) not the word this honors
Πῶς οὖν ἐγὼ καινοτόμος καὶ νεωτέρων ῥημάτων δημιουργός,
how then I (an)-innovator and of-newer words (a)-maker
ἔθνη ὅλα καὶ πόλεις καὶ ἔθος πάσης μνήμης ἀνθρωπίνης
nations whole and cities and custom than-all memory human
πρεσβύτερον καὶ ἄνδρας στύλους τῆς Ἐκκλησίας, ἐν πάσῃ
older and men pillars of-the Church in all
γνώσει καὶ δυνάμει Πνεύματος διαπρεπεῖς, ἀρχηγοὺς καὶ
knowledge and power of-Spirit distinguished as-leaders and
προστάτας τῆς φωνῆς παρεχόμενος; ἐπὶ τούτοις τὸ
champions of-the expression presenting for these(-things) the

πολεμικὸν τοῦτο καθ᾽ ἡμῶν συγκεκίνηται στῖφος, πᾶσα δὲ
warlike this against us has-been-stirred-up band every and
πόλις καὶ κώμη καὶ ἐσχατιαὶ πᾶσαι πλήρεις τῶν ἡμετέρων
city and village and furthest-parts all (are)-full of-the our
διαβολῶν. λυπηρὰ μὲν οὖν ταῦτα καὶ ὀδυνηρὰ ταῖς
slanders grievous indeed then these(-things) and painful to-the
καρδίαις τῶν ζητούντων εἰρήνην· ἀλλ᾽ ἐπειδὴ μεγάλοι τῆς
hearts of-those seeking peace but since great the
ὑπομονῆς οἱ μισθοὶ τῶν ὑπὲρ τῆς πίστεως παθημάτων, πρὸς
of-patience the rewards of-the for the faith sufferings besides
τούτοις καὶ ξίφος στιλβούσθω, καὶ πέλεκυς ἀκονάσθω,
these(-things) also (the)-sword let-be-whetted and (the)-axe let-be-sharpened
καὶ πῦρ καιέσθω τοῦ Βαβυλωνίου σφοδρότερον, καὶ
and (the)-fire let-be-kindled than-the Babylonian fiercer and
πᾶν κινείσθω ἐφ᾽ ἡμᾶς ὄργανον κολαστήριον, ὡς ἔμοιγε
every let-be-moved against us instrument of-punishment as to-me-at-least
οὐδὲν φοβερώτερον τοῦ μὴ φοβεῖσθαι τὰς ἀπειλάς, ἃς
nothing more-fearful than-the not to-fear the threats which
ὁ Κύριος τοῖς τὸ Πνεῦμα βλασφημοῦσιν ἐπανετείνατο.
the Lord against-those the Spirit blaspheming held-out
πρὸς μὲν οὖν τοὺς εὐγνώμονας τῶν ἀνθρώπων ἱκανὴ
to indeed then the reasonable of-the men (a)-sufficient
ἀπολογία τὰ εἰρημένα, ὅτι δεχόμεθα φωνὴν οὕτω
defense the(-things) said that we-accept (a)-word thus
μὲν φίλην καὶ προσήγορον τοῖς ἁγίοις, τοσούτῳ δὲ ἔθει
indeed dear and familiar to-the saints by-so-great but custom
βεβαιωθεῖσαν· διότι ἀφ᾽ οὗ κατηγγέλη τὸ εὐαγγέλιον
confirmed because from when was-proclaimed the gospel
μέχρι τοῦ νῦν, ἐμπολιτευομένη ταῖς Ἐκκλησίαις δείκνυται,
until the now current in-the Churches it-is-shown
καὶ τὸ μέγιστον εὐσεβῶς καὶ ὁσίως κατὰ τὴν ἔννοιαν
and the greatest piously and holily according-to the meaning

ἔχουσα. πρὸς δὲ τὸ μέγα κριτήριον τίνα τὴν ἀπολογίαν
having toward but the great tribunal what the defense
ἑαυτοῖς εὐτρεπίσαμεν; ὅτι ἐνῆγεν ἡμᾶς πρὸς τὴν δόξαν
for-ourselves have-we-prepared that led us to the glory
τοῦ Πνεύματος πρῶτον μὲν ἡ παρὰ τοῦ Κυρίου
of-the Spirit first indeed the from the Lord
τιμὴ συμπαραλαβόντος ἑαυτῷ καὶ τῷ Πατρὶ πρὸς τὸ
honor having-taken-along-with with-himself and the Father for the
βάπτισμα, ἔπειτα ἡ ἑκάστου ἡμῶν διὰ τῆς τοιαύτης
baptism then the of-each of-us through the such
μυσταγωγίας πρὸς τὴν θεογνωσίαν εἰσαγωγή, ἐφ᾽
initiation to the knowledge-of-God introduction on-top-of
ἅπασι δὲ ὁ φόβος τῶν ἀπειληθέντων, ἀπείργων τὴν
all and the fear of-the(-things) threatened shutting-out the
ἔννοιαν πάσης ἀναξίας καὶ ταπεινῆς ὑπολήψεως. οἱ δὲ
notion of-every unworthy and lowly supposition those but
ἐναντίοι τί καὶ ἐροῦσι; ποίαν ἀπολογίαν τῆς βλασφημίας
opposed what also will-they-say what defense of-the blasphemy
ἕξουσι, μήτε τὰς τιμὰς τοῦ Κυρίου καταιδεσθέντες
will-they-have neither the honors of-the Lord having-respected
μήτε τὰς ἀπειλὰς αὐτοῦ φοβηθέντες; οὗτοι μὲν οὖν
nor the threats his having-feared these(-men) indeed then
κύριοι βουλεύσασθαι περὶ τῶν κατ᾽ αὐτοὺς ἢ καὶ
(are)-masters to-deliberate about the(-things) concerning them or also
μεταβουλεύσασθαι ἤδη· αὐτὸς δ᾽ ἂν εὐξαίμην μάλιστα μὲν
to-change-their-minds already I-myself but — would-pray most-of-all indeed
δοῦναι τὸν ἀγαθὸν Θεὸν τὴν ἑαυτοῦ εἰρήνην βραβεύουσαν
to-give the good God the his-own peace presiding
ἐν ταῖς καρδίαις ἁπάντων, ὥστε τοὺς σφριγῶντας καθ᾽
in the hearts of-all so-that those swelling against
ἡμῶν τούτους καὶ συντεταγμένους σφοδρῶς ἐν πνεύματι
us these and arrayed vehemently in (a)-spirit

πραότητος καὶ ἀγάπης κατασταλῆναι, εἰ δ' ἄρα παντελῶς
of-meekness and love to-be-calmed if but then utterly
ἐξηγρίωνται καὶ ἀτιθασσεύτως ἔχουσιν, ἀλλ' ἡμῖν γε
they-have-become-savage and untamably are but to-us at-least
δοῦναι μακροθύμως φέρειν τὰ παρ' αὐτῶν. πάντως
to-give patiently to-bear the(-things) from them altogether
δὲ τοῖς τὸ ἀπόκριμα τοῦ θανάτου ἐν ἑαυτοῖς ἔχουσιν
but for-those the sentence of-the death in themselves having
οὐ τὸ παθεῖν ὑπὲρ τῆς πίστεως ἀλγεινόν, ἀλλὰ τὸ μὴ
not the to-suffer for the faith (is)-painful but the not
ἐναθλῆσαι αὐτῇ δυσφορώτατον, ἐπεὶ καὶ τοῖς ἀθληταῖς οὐ
to-contend for-it (is)-most-grievous since also for-the athletes not
τοσοῦτον πληγὰς λαβεῖν ἀγωνιζομένοις βαρύ, ὅσον μηδὲ
so-much blows to-take in-contending (is)-heavy as not-even
παραδεχθῆναι τὴν ἀρχὴν εἰς τὸ στάδιον. ἢ τάχα οὗτος
to-be-admitted the beginning into the stadium or perhaps this
ἦν ὁ 'καιρὸς τοῦ σιγᾶν' κατὰ τὸν σοφὸν Σολομῶντα.
was the time of-the to-be-silent according-to the wise Solomon
τί γὰρ ὄφελος τῷ ὄντι κεκραγέναι πρὸς ἄνεμον, οὕτω
what for (the)-profit in-the reality to-have-cried to wind so
βιαίας ζάλης κατεχούσης τὸν βίον, ὑφ' ἧς πᾶσα μὲν
violent (a)-storm holding the life by which every indeed
διάνοια τῶν τὸν λόγον κατηχουμένων οἷον ὀφθαλμὸς
mind of-those the word being-instructed as (an)-eye
κονιορτοῦ τινος τῆς ἐκ τῶν παραλογισμῶν ἀπάτης
with-dust some of-the from the fallacies deceit
ἀναπλησθεῖσα συγκέχυται, πᾶσα δὲ ἀκοὴ βαρυτάτοις καὶ
filled is-confounded every and ear with-heaviest and
ἀήθεσι ψόφοις κατακτυπεῖται, δονεῖται δὲ πάντα καὶ
unaccustomed noises is-battered is-shaken and all(-things) and
ἐν κινδύνῳ ἐστὶ τοῦ πτώματος;
in danger is of-the fall

30 Τίνι οὖν ὁμοιώσομεν τὴν παροῦσαν κατάστασιν; ἢ
to-what then shall-we-liken the present state surely
που ὁμοία ἐστὶ πολέμῳ τινὶ ναυτικῷ, ὃν ἐκ παλαιῶν
somehow like it-is to-war some naval which from old
προσκρουσμάτων πολὺν κατ᾽ ἀλλήλων τὸν θυμὸν θρέψαντες
offenses much against one-another the anger having-nursed
ναυμαχοί τινες ἄνδρες καὶ φιλοπόλεμοι συνεστήσαντο. ὅρα
sea-fighting some men and war-loving have-joined see
δὴ οὖν μοι ἐν τῇ εἰκόνι ταύτῃ φοβερῶς ἑκατέρωθεν
indeed then for-me in the image this fearfully from-both-sides
ἀντεφορμῶντα τὸν στόλον, εἶτα εἰς τὸ ἀνήκεστον τῆς
charging the fleet then into the incurable of-the
ὀργῆς ἐκραγείσης συμπεσόντας διαγωνίζεσθαι. ὑπόθου, εἰ
anger having-broken-out having-closed to-fight-it-out suppose if
βούλει, καὶ λαίλαπι βιαίᾳ κλονεῖσθαι τὸ ναυτικόν, καὶ
you-wish also by-(a)-hurricane violent to-be-shaken the navy and
ζόφον ἀθρόως ἐκ νεφῶν ἐπισχόντα μελαίνειν πᾶν τὸ
darkness suddenly from clouds having-come-on to-blacken all the(-thing)
ὁρώμενον, ὡς μηδεμίαν ἔτι εἶναι φίλων καὶ πολεμίων
seen so-that no longer to-be of-friends and of-enemies
διάκρισιν, τῶν συμβόλων αὐτοῖς ἀγνοηθέντων διὰ τὴν
distinction the signals to-them being-unknown because-of the
σύγχυσιν. ἔτι προσθήσωμεν δι᾽ ἐνάργειαν τῇ εἰκόνι
confusion further let-us-add for vividness to-the image
καὶ θάλασσαν οἰδοῦσαν καὶ ἄνω στρεφομένην ἐκ τῶν
also (a)-sea swelling and upward turned from the
βυθῶν καὶ λάβρον ἐκ νεφῶν ὕδωρ καταρρηγνύμενον καὶ
depths and violent from clouds water bursting-down and
φοβερὸν ἐπανιστάμενον ἐκ τρικυμίας τὸν κλύδωνα, εἶτα
fearful rising from (a)-triple-wave the surge then
πανταχόθεν τῶν πνευμάτων εἰς ταὐτὸν συμπεσόντων πάντα
from-all-sides the winds into the-same having-met all

τὸν στόλον συναρασσόμενον, καὶ τῶν ἐπὶ παρατάξεως
the fleet dashed-together and of-those in battle-line
τοὺς μὲν καταπροδιδόντας καὶ παρ᾽ αὐτὴν τὴν ἀγωνίαν
some indeed betraying and at very the struggle
αὐτομολοῦντας, τοὺς δὲ ἀνάγκην ἔχειν ὁμοῦ τε διωθεῖσθαι
deserting others and necessity having at-once both to-push-away
τὰ σκάφη ἐκ τῶν ἀνέμων ἐπιφερόμενα καὶ ἀντεπιέναι
the boats by the winds borne-on and to-advance-against
τοῖς ἐφορμῶσι, καὶ ἀλλήλους καταφονεύειν ὑπὸ τῆς
those attacking and one-another to-slaughter by the
στάσεως, ἣν ὁ πρὸς τὸ ὑπερέχον φθόνος καὶ ἡ ἐπιθυμία
faction which the toward the superior envy and the desire
τοῦ αὐτὸν ἕκαστον κρατεῖν ἐνεποίησεν. ἐνθυμήθητι ἐπὶ
of-the himself each to-prevail produced consider in-addition
τούτοις συμμιγῆ τινα καὶ ἄσημον ἦχον πᾶσαν ἐπέχοντα
to-these confused some and indistinct noise all filling
τὴν ἐκεῖ θάλασσαν, ἐκ τῶν περιηχούντων ἀνέμων καὶ
the there sea from the resounding winds and
τοῦ πατάγου τῶν πλοίων, καὶ τοῦ ῥοθίου ζέοντος, καὶ ἐκ
of-the crashing of-the ships and of-the surf boiling and from
τῆς βοῆς τῶν πολεμούντων παντοδαπὰς φωνὰς ἐπὶ τοῖς
the shout of-those warring all-kinds-of cries at the
πάθεσιν ἀφιέντων, ὡς μήτε ναυάρχου μήτε κυβερνήτου
sufferings uttering so-that neither of-admiral nor of-helmsman
φωνὴν εἰσακούεσθαι, ἀλλὰ δεινήν τινα εἶναι ἀταξίαν καὶ
(the)-voice to-be-heard but terrible some to-be disorder and
σύγχυσιν, τῆς τῶν κακῶν ὑπερβολῆς διὰ τὴν πρὸς
confusion the of-the evils excess because-of the of
τὸ ζῆν ἀπόγνωσιν ἅπασαν αὐτοῖς τοῦ ἁμαρτάνειν ἄδειαν
the to-live despair all to-them of-the to-sin license
ἐμποιούσης. πρόσθες αὐτοῖς καὶ ἀμήχανόν τινα νόσον
producing add to-them also incurable some disease

δοξομανίας, ὥστε τῆς νεὼς εἰς βυθὸν ἤδη φερομένης τοὺς
of-glory-mania so-that the ship into (the)-deep already being-borne the
ἐπιβάτας ἀλλήλοις τῆς τῶν πρωτείων ἔριδος μὴ ὑφίεσθαι.
passengers to-one-another of-the of-the first-places strife not to-yield
Μετάβα δή μοι ἀπὸ τῆς εἰκόνος ἐπ᾽ αὐτὸ τοῦ κακοῦ
pass-over indeed for-me from the image to itself of-the evil
τὸ ἀρχέτυπον. οὐχὶ πάλαι μέν πως ἐδόκει τὸ Ἀρειανὸν
the archetype not long-ago indeed somehow seemed the Arian
σχίσμα εἰς ἀντίπαλον μοῖραν ἀποκριθὲν τῇ Ἐκκλησίᾳ
schism into (a)-hostile portion having-separated to-the Church
τοῦ Θεοῦ ἐν πολεμίων τάξει αὐτὸ καθ᾽ ἑαυτὸ μόνον
— of-God in of-enemies rank itself by itself alone
ἀντικαθέζεσθαι; ὅτε δὲ ἐκ τῆς μακρᾶς καὶ χαλεπῆς ἔριδος
to-sit-opposite when but from the long and harsh strife
εἰς προφανῆ ἀγῶνα ἡμῖν ἀντικατέστησαν, τότε δὴ εἰς
into open contest with-us they-stood-opposite then indeed into
πολλὰ μέρη κατὰ μυρίους τρόπους ὁ πόλεμος διεσχίσθη,
many parts in countless ways the war was-split
ὥστε καὶ διὰ τὸ κοινὸν ἔχθος καὶ διὰ τὸ ἰδίως
so-that both because-of the common hatred and because-of the privately
ὕποπτον ἀδιάλλακτον πᾶσιν ὑπάρχειν τὸ μῖσος. ὁ δὲ σάλος
suspicious irreconcilable to-all to-be the hatred the but tossing
οὗτος τῶν ἐκκλησιῶν τίνος οὐκ ἔστι θαλασσίου κλύδωνος
this of-the churches than-what not is sea surge
ἀγριώτερος; ἐν ᾧ πᾶν μὲν ὅριον πατέρων κεκίνηται, πᾶς
more-savage in which every indeed boundary of-the-fathers has-been-moved every
δὲ θεμέλιος καὶ εἴ τι ὀχύρωμα δογμάτων διασεσάλευται,
and foundation and if any bulwark of-doctrines has-been-shaken
κλονεῖται δὲ πάντα καὶ κατασείεται σαθρᾷ τῇ βάσει
are-shaken and all(-things) and are-tottering on-(a)-rotten the base
ἐπαιωρούμενα, ἀλλήλοις δὲ ἐμπίπτοντες ὑπὸ ἀλλήλων
suspended on-one-another and falling by one-another

ἀνατρεπόμεθα, κἂν μὴ φθάσῃ βαλὼν ὁ πολέμιος, ὁ
we-are-overturned even-if not be-beforehand having-struck the enemy the
παραστάτης ἔτρωσε, κἂν πέσῃ βληθείς, ὁ συνασπιστὴς
comrade wounded even-if he-fall struck the fellow-shield-bearer
ἐπενέβη. τοσοῦτον ἀλλήλοις κοινωνοῦμεν, ὅσον κοινῇ
trampled-on so-much with-one-another we-share as-much-as in-common
τοὺς ἐναντίους μισεῖν, ἐπειδὰν δὲ παρέλθωσιν οἱ πολέμιοι,
the opponents to-hate when and have-passed the enemies
ἀλλήλους ἤδη βλέπομεν πολεμίους. ἐπὶ τούτοις τῶν
one-another already we-see (as)-enemies upon these(-things) of-the
ναυαγίων τὸ πλῆθος τίς ἂν ἐξαριθμήσαιτο; τῶν μὲν
shipwrecks the multitude who — could-number of-the(-ones) indeed
ἐκ τῆς τῶν πολεμίων προσβολῆς καταδύντων, τῶν δὲ
from the of-the enemies attack sunk the(-others) and
ἐκ τῆς λαθραίας τῶν συμμαχούντων ἐπιβουλῆς, ἄλλων
from the secret of-the allies plot others
ἐκ τῆς ἀπειρίας τῶν εὐθυνόντων· ὅπου γε αὔτανδροι
from the inexperience of-those steering where at-least with-their-crews
ἐκκλησίαι οἷον ὑφάλοις τισὶ τοῖς αἱρετικοῖς δόλοις
churches as on-sunken-rocks some the heretical deceits
προσαραχθεῖσαι διεφθάρησαν, ἄλλοι δὲ τῶν ἐχθρῶν τοῦ
having-struck were-destroyed others and of-the enemies of-the
σωτηρίου Πνεύματος παραλαβόντες τοὺς οἴακας περὶ τὴν
saving Spirit having-taken the rudders about the
πίστιν ἐναυάγησαν. αἱ δὲ ἐκ τῶν ἀρχόντων τοῦ κόσμου
faith were-shipwrecked the and from the rulers of-the world
τούτου ἐπαγόμεναι ταραχαὶ ποίας οὐχὶ θυέλλης καὶ
this brought-on troubles than-what not storm and
καταιγίδος σφοδρότερον τοὺς λαοὺς ἀνατρέπουσι; κατηφὴς
hurricane more-violently the peoples overturn gloomy
δέ τις ὄντως καὶ στυγνὴ σκοτόμαινα τὰς ἐκκλησίας ἐπέχει,
and some truly and hateful darkness the churches holds

τῶν λαμπτήρων τοῦ κόσμου, οὓς ἔθετο ὁ Θεὸς τὰς ψυχὰς
the lamps of-the world whom set — God the souls
τῶν λαῶν φωτίζειν, ἐξοικισθέντων. τὸ δὲ ὑπερβάλλον
of-the peoples to-enlighten having-been-exiled the but excess
αὐτοῖς τῆς πρὸς ἀλλήλους φιλονεικίας ἐπικρεμαμένου ἤδη
to-them of-the toward one-another contentiousness hanging already
τοῦ φόβου τῆς τοῦ παντὸς διαλύσεως παραιτεῖται τὴν
the fear of-the of-the whole dissolution prevents the
αἴσθησιν. τοῦ γὰρ κοινοῦ καὶ δημοσίου πολέμου πλεῖόν
perception than-the for common and public war greater
ἐστι τὸ ἴδιον δυσμενές, τῆς ἐκ τοῦ κρατῆσαι τῶν ἐναντίων
is the private enmity of-the from the to-prevail-over the opponents
δόξης τοῦ κοινῶς πᾶσι λυσιτελοῦντος προτιθεμένης
glory than-the in-common to-all profiting being-preferred
οἷς τὸ παραυτίκα τῆς φιλοτιμίας τερπνὸν τῶν εἰς
to-whom the immediate of-the ambition pleasure than-the for
ὕστερον ἀποκειμένων μισθῶν προτιμότερον. διόπερ πάντες
later laid-up rewards (is)-more-preferred wherefore all
ὁμοίως καθ' ὃν ἂν ἕκαστος δύνηται τρόπον τὰς φονικὰς
alike in which — each can way the murderous
χεῖρας ἀλλήλοις ἀντεπιφέρουσι. τραχεῖα δέ τις κραυγὴ
hands against-one-another bring-to-bear harsh and some cry
τῶν ἐξ ἀντιλογίας παρατριβομένων ἀλλήλοις, καὶ
of-those from contradiction clashing with-one-another and
βοὴ ἄσημος καὶ δύσκριτος ἦχος ἐκ τῶν ἀσιγήτων
shout indistinct and hard-to-discern noise from the unceasing
θορύβων πᾶσαν ἤδη σχεδὸν Ἐκκλησίαν πεπλήρωκεν ἐπὶ
tumults all already almost (the)-Church has-filled to
ὑπερβολὰς καὶ ἐλλείψεις τὸ εὐθὲς δόγμα τῆς εὐσεβείας
excesses and deficiencies the straight doctrine of-the piety
παρατρεπόντων. οἱ μὲν γὰρ ἐπὶ Ἰουδαϊσμὸν διὰ τῆς
perverting the(-ones) indeed for to Judaism through the

συγχύσεως τῶν Προσώπων, οἱ δὲ ἐπὶ Ἑλληνισμὸν
confusion of-the Persons the(-others) and to Hellenism
διὰ τῆς τῶν φύσεων ἐναντιότητος παραφέρονται, οὔτε
through the of-the natures opposition are-carried-away neither
τῆς θεοπνεύστου Γραφῆς μεσιτεύειν αὐτοῖς ἐξαρκούσης,
the God-inspired Scripture to-mediate for-them sufficing
οὔτε τῶν ἀποστολικῶν παραδόσεων τὰς πρὸς ἀλλήλους
nor the apostolic traditions the toward one-another
αὐτοῖς διαλλαγὰς βραβευουσῶν. εἷς δὲ ὅρος φιλίας τὸ
for-them reconciliations arbitrating one and boundary of-friendship the
καθ' ἡδονὴν εἰπεῖν, καὶ ἔχθρας ἀρκοῦσα πρόφασις τὸ
according-to pleasure to-speak and of-enmity sufficient pretext the
μὴ συμβῆναι ταῖς δόξαις. πάσης δὲ συνωμοσίας πιστότερον
not to-agree in-the opinions every but conspiracy more-trusty
πρὸς κοινωνίαν στάσεως ἡ τοῦ σφάλματος ὁμοιότης.
toward fellowship of-faction the of-the error likeness
θεολόγος δὲ πᾶς, καὶ ὁ μυρίαις κηλῖσι τὴν
(a)-theologian and every(-one) even the(-one) with-countless stains the
ψυχὴν στιγματίσας. ἐντεῦθεν τοῖς νεωτεροποιοῖς εὐπορία
soul having-branded hence for-the innovators (an)-abundance
τῶν συστασιαζόντων πολλή. τοιγαροῦν αὐτοχειροτόνητοι
of-the fellow-rebels (is)-great accordingly self-elected
καὶ σπουδαρχίδαι τῶν ἐκκλησιῶν τὰς προστασίας
and office-seekers of-the churches the presidencies
διαλαγχάνουσι, τὴν οἰκονομίαν τοῦ ἁγίου Πνεύματος
obtain-by-lot the dispensation of-the holy Spirit
παρωσάμενοι. καὶ παντελῶς ἤδη τῶν εὐαγγελικῶν
having-thrust-aside and wholly already of-the evangelical
θεσμῶν ἐξ ἀκοσμίας συγκεχυμένων ἀμύθητος ὠθισμὸς ἐπὶ
ordinances from disorder confounded unspeakable jostling for
τὰς προεδρίας ἐστί, τῶν φανητιώντων εἰσποιεῖν ἑαυτὸν
the presidencies there-is of-those wishing-to-be-seen to-adopt himself

ἑκάστου τῇ προστασίᾳ βιαζομένου. ἀναρχία δέ τις δεινὴ
each to-the leadership forcing anarchy and some terrible
τοῖς λαοῖς ἀπὸ τῆς φιλαρχίας ταύτης ἐπεκώμασεν· ὅθεν
on-the peoples from the love-of-rule this has-rioted-in whence
ἄπρακτοι παντελῶς καὶ ἀργαὶ τῶν ἐπιστατούντων αἱ
ineffectual wholly and idle of-those presiding the
παρακλήσεις, οὐ μᾶλλον ἀκούειν τινὸς ἢ αὐτῷ ἄρχειν
exhortations not more to-hear anyone than himself to-rule
ἑτέρων ὀφειλόμενον εἶναι ἑκάστου διὰ τὸν ἐξ ἀμαθίας
others owed to-be each because-of the from ignorance
τῦφον λογιζομένου.
conceit reckoning
Διὰ ταῦτα λυσιτελεστέραν τοῦ λόγου τὴν σιωπὴν
because-of these(-things) more-profitable than-the speech the silence
ἐτιθέμην, ὡς οὐ δυναμένης φωνῆς ἀνθρώπου διὰ τοσούτων
I-reckoned as not being-able (the)-voice of-man through so-great
θορύβων εἰσακουσθῆναι. εἰ γὰρ ἀληθῆ τὰ τοῦ Ἐκκλησιαστοῦ
tumults to-be-heard if for true the of-the Preacher
ῥήματα, ὅτι ‘λόγοι σοφῶν ἐν ἀναπαύσει ἀκούονται,’ πολλοῦ
words that words of-wise(-men) in rest are-heard much
ἂν δέοι πρέπειν τῇ νῦν καταστάσει τὸ περὶ τούτων
— it-would-lack to-befit the present state the about these(-things)
λέγειν. ἐμὲ δὲ καὶ τὸ προφητικὸν ἐκεῖνο κατέχει λόγιον, ὅτι
to-speak me but also the prophetic that holds oracle that
‘ὁ συνιὼν σιωπήσεται, διότι ὁ καιρὸς πονηρός ἐστιν,’
the understanding(-one) will-be-silent because the time evil is
ἐν ᾧ οἱ μὲν ὑποσκελίζουσι νῦν, οἱ δὲ ἐνάλλονται τῷ
in which some indeed trip-up now others and leap-on the
πεσόντι, ἄλλοι δὲ ἐπικροτοῦσιν, ὁ δὲ τῷ ὀκλάσαντι
fallen others and applaud the(-one) but to-the having-sunk-down
χεῖρα ὀρέγων ἐκ συμπαθείας οὐκ ἔστι, καίτοιγε κατὰ
(a)-hand extending from sympathy not is and-yet according-to

τὸν παλαιὸν νόμον οὐδ᾽ ὁ τὸ ὑποζύγιον τοῦ ἐχθροῦ
the old law not-even the(-one) the beast-of-burden of-the enemy
πεπτωκὸς ὑπὸ τὸν γόμον παραδραμὼν ἀκατάγνωστος.
fallen under the load passing-by (is)-blameless
ἀλλ᾽ οὐχὶ τὰ νῦν τοιαῦτα. πόθεν; ὅπου γε διὰ
but not the now such(-things) whence where at-least through
πάντων τῆς ἀγάπης ψυγείσης ἀνῄρηται μὲν ἀδελφῶν
all(-things) the love having-grown-cold is-destroyed indeed of-brothers
σύμπνοια, ὁμονοίας δὲ ἀγνοεῖται καὶ τοὔνομα, ἀνῄρηνται
(the)-concord of-unanimity and is-unknown even the-name are-destroyed
δὲ ἀγαπητικαὶ νουθεσίαι, οὐδαμοῦ σπλάγχνον χριστιανόν,
and loving admonitions nowhere heart Christian
οὐδαμοῦ δάκρυον συμπαθές. οὐκ ἔστιν ὁ τὸν ἀσθενοῦντα
nowhere tear sympathetic not is the(-one) the weak
τῇ πίστει προσλαμβανόμενος, ἀλλὰ τοσοῦτον μῖσος
in-the faith receiving but so-great hatred
τοῖς ὁμοφύλοις πρὸς ἀλλήλους ἐκκέκαυται, ὥστε μᾶλλον
to-the kinsmen toward one-another has-been-kindled that rather
τοῖς τοῦ πλησίον πτώμασιν ἢ τοῖς οἰκείοις ἕκαστος
at-the of-the neighbor falls than at-the own each
κατορθώμασιν ἐπαγάλλονται. ὥσπερ δὲ ἐν ταῖς λοιμικαῖς
successes they-exult as but in the pestilential
συμπαθείαις καὶ οἱ κατὰ πᾶσαν ἀκρίβειαν διαιτώμενοι
infections also those in all strictness living
τὰ ἴσα τοῖς ἄλλοις κάμνουσιν, ἐκ τῆς πρὸς τοὺς
the same-things as-the others suffer from the with the
διεφθαρμένους ὁμιλίας τῆς ἀρρωστίας ἀναπιμπλάμενοι·
corrupted intercourse with-the sickness filled
οὕτω καὶ νῦν πάντες ἀλλήλοις γεγόναμεν ὅμοιοι, ὑπὸ τῆς
thus also now all to-one-another have-become like by the
κατασχούσης τὰς ψυχὰς ἡμῶν φιλονεικίας πρὸς τὸν τῶν
having-possessed the souls our contentiousness to the of-the

κακῶν ζῆλον ὑπενεχθέντες. ἐντεῦθεν ἀσύγγνωστοι μὲν
evils emulation carried-away hence unforgiving indeed
καὶ πικροὶ κάθηνται τῶν ἀποτυγχανομένων ἐξετασταί,
and bitter sit of-the(-things) failing examiners
ἀγνώμονες δὲ καὶ δυσμενεῖς τῶν κατορθουμένων
unreasonable but and hostile of-the(-things) succeeding
κριταί· καὶ τοσοῦτον ὡς ἔοικε τὸ κακὸν ἡμῖν ἐνίδρυται,
judges and so-much as it-seems the evil in-us is-established
ὥστε καὶ τῶν ἀλόγων γεγόναμεν ἀλογώτεροι, εἴ
that even than-the irrational(-animals) we-have-become more-irrational if
γε ἐκεῖνα μὲν τὰ ὁμόφυλα ἀλλήλοις συναγελάζεται,
at-least they indeed the(-ones) of-same-kind with-one-another herd-together
ἡμῖν δὲ ὁ χαλεπώτατος πόλεμος πρὸς τοὺς οἰκείους ἐστί.
for-us but the most-grievous war against the kinsmen is
Τούτων μὲν οὖν πάντων ἕνεκεν ἔδει σιωπᾷν, ἀλλ'
of-these indeed then all for-the-sake (one)-should to-keep-silence but
ἀνθεῖλκε γὰρ ἑτέρωθεν ἡ ἀγάπη, οὐ ζητοῦσα τὸ
pulled-back for from-the-other-side the love not seeking the(-things)
ἑαυτῆς καὶ νικᾷν ἀξιοῦσα πᾶσαν καιρῶν καὶ πραγμάτων
of-itself and to-conquer deeming every of-times and of-things
δυσχέρειαν, ἐδίδαξαν δὲ ἡμᾶς καὶ οἱ ἐπὶ τῆς Βαβυλωνίας
difficulty taught and us also the in the Babylonia
παῖδες καὶ μηδενὸς ὄντος τοῦ συντιθεμένου τῇ
children even no-one being the(-one) agreeing with-the
εὐσεβείᾳ καθ' ἑαυτοὺς τὸ ἐπιβάλλον ἐκτελεῖν· οἵ γε ἐκ
piety by themselves the duty to-perform who at-least from
μέσης τῆς φλογὸς τὸν Θεὸν ἀνύμνουν, μὴ λογιζόμενοι
(the)-middle of-the flame — God hymned not reckoning
τὸ πλῆθος τῶν τὴν ἀλήθειαν ἀθετούντων, ἀλλ' ἀρκούμενοι
the multitude of-those the truth rejecting but content
ἀλλήλοις, τρεῖς ὄντες. διόπερ οὐδὲ ἡμῖν ὄκνον ἐνεποίησε
with-one-another three being wherefore not-even in-us hesitation produced

τῶν πολεμίων τὸ νέφος, ἀλλὰ τὴν ἐλπίδα θέμενοι ἐπὶ τὴν
of-the enemies the cloud but the hope having-set on the
βοήθειαν τοῦ Πνεύματος ἐν πάσῃ παρρησίᾳ κατηγγείλαμεν
help of-the Spirit in all boldness we-proclaimed
τὴν ἀλήθειαν. ἢ πάντων ἂν ἦν σχετλιώτατον,
the truth or of-all — it-would-have-been most-wretched
τοὺς μὲν βλασφημοῦντας τὸ Πνεῦμα οὕτως εὐκόλως πρὸς
those indeed blaspheming the Spirit so easily against
τὸν εὐσεβῆ λόγον ἀποθρασύνεσθαι, ἡμᾶς δὲ τηλικοῦτον
the pious doctrine to-be-insolent us but so-great
ἔχοντας συνασπιστὴν καὶ συνήγορον ὀκνεῖν τὸν λόγον
having (a)-fellow-shield-bearer and advocate to-shrink-from the doctrine
διακονεῖν τὸν ἐκ τῆς τῶν πατέρων παραδόσεως πρὸς ἡμᾶς
to-minister the from the of-the fathers tradition to us
ἀκολουθίᾳ μνήμης διασωθέντα. ἐπὶ πλεῖον δὲ ἡμῶν ἐπήγειρε
by-succession of-memory preserved to more but our roused
τὴν ὁρμὴν τῆς τε ἀνυποκρίτου σου ἀγάπης τὸ διάπυρον
the impulse of-the both unfeigned your love the ardor
καὶ τὸ τοῦ τρόπου ἐμβριθὲς καὶ ἡσύχιον, ἐγγυώμενον μὴ
and the of-the character gravity and quiet pledging not
εἰς πολλοὺς ἐξοίσειν τὰ ῥηθησόμενα, οὐχ ὡς ἄξια
to many to-carry-out the(-things) going-to-be-said not as worthy
κατακρύπτεσθαι, ἀλλ᾽ ὥστε μὴ ῥίπτεσθαι τοῖς χοίροις τοὺς
to-be-hidden but so-that not to-be-cast to-the swine the
μαργαρίτας. καὶ ταῦτα μὲν εἰς τοσοῦτον· σοὶ δὲ εἰ
pearls and these(-things) indeed to so-much to-you but if
μὲν ἀρκούντως ἔχει τὰ εἰρημένα, τοῦτο πέρας ἔστω
indeed sufficiently are the(-things) said this (the)-end let-be
τοῦ περὶ τούτων λόγου, εἰ δὲ ἐλλιπῶς ἔχειν δόξει,
of-the about these(-things) discourse if but defectively to-be it-will-seem
φθόνος οὐδεὶς φιλοπόνως προσεδρεύοντα τῇ ζητήσει
(there-is)-grudging none diligently (for-one)-attending to-the inquiry

δι᾽ ἐρωτήσεως ἀφιλονείκου προστιθέναι τῇ γνώσει. δώσει
through questioning uncontentious to-add to-the knowledge will-give
γὰρ ὁ Κύριος ἢ δι᾽ ἡμῶν ἢ δι᾽ ἑτέρων τῶν
for the Lord either through us or through others of-the(-things)
λειπόντων τὴν πλήρωσιν κατὰ τὴν ἐπιχορηγουμένην
lacking the fulfillment according-to the supplied
τοῖς ἀξίοις αὐτοῦ γνῶσιν ὑπὸ τοῦ ἁγίου Πνεύματος. ἀμήν.
to-the worthy of-him knowledge by the holy Spirit amen
